64 Καὶ σκεπάζοντές τον, τοῦ ἐκτυποῦσαν εἰς τὸ πρόσωπον, καὶ τὸν ἔλεγαν· Προφήτευσε τίς εἶναι ὁπού σὲ ἐκτύπησε.

65 Καὶ ἄλλα πολλὰ βλασφημοῦντες ἔλεγαν εἰς αὐτόν.

66 Καὶ ὡσὰν ἐξημέρωσεν, ἐμαζώχθηκαν τὸ πρεσβυτέριον τοῦ λαοῦ, καὶ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, καὶ ἀνεβάσαν τον εἰς τὴν συνάξιν τους,

67 Καὶ τοῦ ἔλεγαν· εἰπὲ μας

Χελσός; εἰπὲ ἡμῖν. Εἶπε δὲ αὐτοῖς· Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε·

68 Ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι, ἢ ἀπολύσητε.

69 Ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.

70 Εἶπον δὲ πάντες· Σὺ οὖν εἶ ὁ υἱὸς τοῦ Θεοῦ; Ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι.

71 Οἱ δὲ εἶπον· Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

μας, ἂν ἐσὺ εἶσαι ὁ Χελσός; ἐκεῖνος τοὺς λέγει· ἐὰν σᾶς εἰπῶ, δὲν θέλετε μὲ πιστεύσῃ·

68 Καὶ ἐὰν ἐσᾶς ἐρωτήσω, δὲν θέλετε μὲ ἀποκριθῆ, μήτ' θέλετε μὲ ἀπολύσῃ.

69 Ἀπὸ τώρα ἐκεῖνος ὁποὺ εἶναι ὁ υἱὸς τοῦ ἀνθρώπου θέλει καθίζει ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.

70 Καὶ ὅλοι εἶπαν· ἐσὺ λοιπὸν εἶσαι ὁ υἱὸς τοῦ Θεοῦ; καὶ ἐκεῖνος τοὺς εἶπεν· ἐσεῖς τὸ λέγετε, ὅπου εἶμαι.

71 Καὶ ἐκεῖνοι εἶπαν· τί χρείαν ἔχομεν πλέον μαρτυρίας; αὐτοὶ ἐμεῖς τὸ ἀκούσαμεν ἀπὸ τὸ στόμα του.

Κεφ. κγ'. 23.

Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, ἤγαγεν αὐτὸν ἐπὶ τὸν Πιλάτον.

2 Ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ, λέγοντες· Τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος, καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.

3 Ὁ δὲ Πιλάτος ἐπηρώτησεν αὐτὸν, λέγων· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη· Σὺ λέγεις.

4 Ὁ δὲ Πιλᾶτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους· Οὐ-

Καὶ σηκώνομεν ὅλον τὸ πλῆθος τῶν Ἰουδαίων, καὶ ἔφεραν εἰς τὸν Πιλᾶτον.

2 Καὶ ἄρχισαν νὰ τὸν κατηγοροῦσι, νὰ λέγουσιν· ἐμεῖς εὑρήκαμεν ἕτοιμον ὅπου ἐγύριζε τὸ ἔθνος, καὶ ἐμπόδιζε τοὺς νὰ δίδουν δόσιμον τοῦ Καίσαρος, λέγοντας τοῦ λόγου του, πῶς νὰ εἶναι Χριστὸς βασιλεύς.

3 Καὶ ὁ Πιλᾶτος τὸν ἐρώτησε, καὶ εἶπεν· ἐσὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων; καὶ ὁ Ἰησοῦς ἀπεκρίθη καὶ εἶπέν του· ἐσὺ τὸ λέγεις.

4 Καὶ ὁ Πιλᾶτος εἶπε εἰς τοὺς ἀρχιερεῖς καὶ εἰς τὸν ὄχλον·

Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.

5 Οἱ δὲ ἐπίσχυον, λέγοντες· Ὅτι ἀνασείει τὸν λαὸν, διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

6 Πιλάτος δὲ ἀκούσας Γαλιλαίαν, ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι.

7 Καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστὶν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις.

8 Ὁ δὲ Ἡρῴδης, ἰδὼν τὸν Ἰησοῦν, ἐχάρη λίαν· ἦν γὰρ θέλων ἐξ ἱκανοῦ ἰδεῖν αὐτὸν, διὰ τὸ ἀκούειν πολλὰ περὶ αὐτοῦ· καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον.

9 Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ.

10 Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ.

11 Ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ.

12 Ἐγένοντο δὲ φίλοι ὅ τε Πιλάτος καὶ ὁ Ἡρῴδης ἐν αὐτῇ

ἐγὼ δὲν εὑρίσκω αἰτίαν θανάτου ἀφορμὴν εἰς τὸν ἄνθρωπον τοῦτον.

5 Ἀλλ' οἱ ἐκεῖνοι φιλονεικοῦντες δυνατώτερον ἐκραύγαζον, λέγοντες· ὅτι συγχύζει τὸν λαὸν, διδάσκοντας εἰς ὅλην τὴν Ἰουδαίαν, ἀρχίζοντας ἀπὸ τὴν Γαλιλαίαν ἕως ὧδε.

6 Καὶ ὁ Πιλᾶτος ὅσον ἤκουσεν Γαλιλαίαν, ἐρώτησεν, ἂν ὁ ἄνθρωπος ἦναι Γαλιλαῖος.

7 Καὶ ὅσον ἔμαθεν πῶς εἶναι ἀπὸ τὴν ἐξουσίαν τοῦ Ἡρῴδου, τὸν ἔπεμψεν εἰς τὸν Ἡρῴδην, ὁποῦ ἦταν ἐκεῖνος ταῖς ἡμέραις εἰς τὴν Ἱερουσαλήμ.

8 Καὶ ὁ Ἡρῴδης, ὅσον εἶδε τὸν Ἰησοῦν, ἐχάρη πολλά· διατὶ ἤθελεν ἀπὸ πολὺν καιρὸν νὰ τὸν εἰδῇ· διατὶ ἄκουε πολλὰ περὶ αὐτοῦ· καὶ ἤλπιζε νὰ εἰδῇ ποτὲ σημεῖον ἀπὸ αὐτόν.

9 Καὶ ἐρώτησεν τον εἰς πολλὰ λόγια· ἀλλὰ αὐτὸς δὲν ἀπεκρίθη ποτέ.

10 Καὶ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐξεκίνησαν καὶ τὸν κατηγοροῦσαν δυνατά.

11 Καὶ ὁ Ἡρῴδης μαζὺ μὲ τοὺς στρατιώτας του τὸν ἐλόγιασε καὶ τὸν ἐπαίξε, καὶ ἐνδύσαντάς τον ἕνα φόρεμα λαμπρὸ, τὸν ἔστειλε πάλιν εἰς τὸν Πιλᾶτον.

12 Καὶ ἐκεῖνον τὴν ἡμέραν ἐγίνηκαν φίλοι ὁ Ἡρῴδης καὶ Πιλά-

τῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.

13 Πιλάτος δὲ, συγκαλεσάμενος τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν,

14 Εἶπε πρὸς αὐτούς· Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον, ὡς ἀποστρέφοντα τὸν λαόν· καὶ ἰδοὺ, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας, οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ.

15 Ἀλλ' οὐδὲ Ἡρῴδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν, καὶ ἰδοὺ, οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ.

16 Παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

17 Ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα.

18 Ἀνεκραξαν δὲ παμπληθεὶ, λέγοντες· Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν τὸν Βαραββᾶν·

19 Ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον, βεβλημένος εἰς φυλακήν.

20 Πάλιν οὖν ὁ Πιλάτος προσεφώνησε, θέλων ἀπολύσαι τὸν Ἰησοῦν.

21 Οἱ δὲ ἐπεφώνουν, λέγοντες· Πιλάτου ἕνας μὲ τὸν ἄλλον· Δεῦτε σταυρώσωμεν αὐτὸν ἔχων ἔχθραν ἀναμεσόν τους.

13 Καὶ ὁ Πιλάτος ἐμάζωξε τοὺς ἀρχιερεῖς, καὶ τοὺς ἄρχοντας, καὶ τὸν λαὸν,

14 Καὶ εἶπέν τους· ἐσεῖς μὲ ἐφέρετε τὸν ἄνθρωπον ἐτοῦτον, ὡσὰν ὅπου διαστρέφει τὸν λαόν· καὶ νά, ἐγὼ ὅπου ὁμπρεσθά σας τὸν ἐξέτασα, καὶ δὲν εὗρηκα τίποτες ἀφορμὴν εἰς τὸν ἄνθρωπον ἀπὸ ἐκεῖνα ὅπου τὸν κατηγορεῖτε.

15 Ἀλλὰ μὴ δὲ ὁ Ἡρῴδης εὗρηκε τίποτες· Δεῦτε ἐγὼ ἐπὶ τούτου σᾶς ἔπεμψα εἰς αὐτόν, καὶ νά, ὅπου δὲν ἔκαμε τίποτις ὅπου νὰ εἶναι ἄξιον θανάτου.

16 Νὰ τὸν παιδεύσω λοιπὸν, καὶ νὰ τὸν ἀπολύσω.

17 Εἶχεν καὶ ἀνάγκην εἰς τὴν ἑορτὴν, νὰ τοὺς ἀπολύσῃ ἕνα φυλακωμένον.

18 Καὶ ὅλον τὸ πλῆθος ἐκραξαν, λέγοντες· ἔβγαλε τοῦτον ἀπὸ τὴν μέσην, καὶ ἀπόλυσέ μας τὸν Βαραββᾶν.

19 Ὁποῦ Βαραββᾶς ἦτον βαλμένος εἰς τὴν φυλακὴν, διὰ κάποιαν διχοστασίαν ὅπου ἔγινεν εἰς τὴν πόλιν καὶ φόνον.

20 Θέλωντας λοιπὸν ὁ Πιλάτος νὰ ἀπολύσῃ τὸν Ἰησοῦν, τοὺς ἐλάλησε πάλιν.

21 Ἀμὴ ἐκεῖνοι ἐφώναζαν

τες· Σταύρωσον, σταύρωσον αὐτόν.

22 Ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς· Τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

23 Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις, αἰτούμενοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων.

24 Ὁ δὲ Πιλάτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν.

25 Ἀπέλυσε δὲ αὐτοῖς τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν φυλακήν, ὃν ᾐτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.

26 Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρόν, φέρειν ὄπισθεν τοῦ Ἰησοῦ.

27 Ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος λαοῦ καὶ γυναικῶν· αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν.

28 Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε· Θυγατέρες Ἰερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν·

29 Ὅτι ἰδοὺ, ἔρχον-ται ἡμέραι καὶ ἔλεγαν· σταύρωσον, σταύρωσον αὐτόν.

22 Καὶ ὁ Πιλᾶτος εἶπε τρίτον εἰς αὐτούς· Τί γὰρ κακὸν ἐποίησε οὗτος; οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω.

23 Καὶ αὐτοὶ ἐπέκειντο φωναῖς μεγάλαις αἰτούμενοι σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων.

24 Καὶ ὁ Πιλᾶτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν.

25 Καὶ ἀπέλυσε τὸν διὰ στάσιν καὶ φόνον βεβλημένον εἰς φυλακήν, ὃν ᾐτοῦντο· τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.

26 Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρόν, φέρειν ὄπισθεν τοῦ Ἰησοῦ.

27 Καὶ ἠκολούθει αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ τῶν γυναικῶν· αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν.

28 Καὶ στραφεὶς πρὸς αὐτὰς ὁ Ἰησοῦς, εἶπε· θυγατέρες Ἰερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν·

29 Ὅτι ἰδοὺ, ἔρχον-ται ἡμέ-

ρας σὺ αὖς ἐρῦσι· Μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἱ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἱ οὐκ ἔθηλασαν.

30 Τότε ἄρξονται λέγειν τοῖς ὄρεσι· Πέσετε ἐφ' ἡμᾶς· καὶ τοῖς βουνοῖς· Καλύψατε ἡμᾶς.

31 Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται;

32 Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι.

33 Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους· ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ εὐωνύμων.

34 Ὁ δὲ Ἰησοῦς ἔλεγε· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβαλον κλῆρον.

35 Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες· Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός.

36 Ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται, προσερχόμενοι, καὶ ὄξος προσφέροντες αὐτῷ,

37 Καὶ λέγοντες· Εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.

38 Ἦν

ἡμέρας εἰς ἃς ἐροῦσιν· Μακάριαι αἱ στεῖραι, καὶ κοιλίαι αἱ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἱ οὐκ ἔθρεψαν.

30 Τότε θέλουσι ἀρχίσει νὰ λέγουν εἰς τὰ ὄρη· πέσετε ἀπάνω μας· καὶ τὰ βουνά· σκεπάσετε μας.

31 Ὅτι ἂν εἰς τὸ χλωρὸν ξύλον κάμνουσιν αὐτὰ, εἰς τὸ ξερὸν τί θέλει γένει;

32 Καὶ ἐφέρνανταν καὶ ἄλλοι δύο κακοῦργοι νὰ σκοτωθοῦσι μαζύ μὲ τὸν Ἰησοῦν.

33 Καὶ ὅταν ἐπῆγαν εἰς τὸν τόπον ὁποῦ σταυρόζετον Κρανίον, ἐκεῖ τὸν ἐσταύρωσαν, καὶ τοὺς κακούργους· τὸν ἕνα ἀπὸ τὸν δεξιὰν, καὶ τὸν ἄλλον ἀπὸ τὸν ζερβιάν.

34 Καὶ ὁ Ἰησοῦς ἔλεγε· ὦ πάτερ, συγχώρησε τους· διατὶ δὲν ἐξεύρουσι τί κάμνουσι. καὶ διαμοιράζοντες τὰ φορέματά του, ἔρριχναν λαχνούς.

35 Καὶ ὁ λαὸς ἐστέκετον καὶ ἔβλεπε. καὶ μαζύ μετ' αὐτοὺς καὶ οἱ ἄρχοντες τὸν ἐγελοῦσαν, καὶ ἔλεγαν· ἄλλους ἔσωσεν, ἂς σώσῃ καὶ τὸν λόγου του, ἂν εἶναι οὗτος ὁ Χριστὸς ὁ διαλεγμένος τοῦ Θεοῦ.

36 Καὶ τὸν ἐνέπαιζαν καὶ οἱ στρατιῶται, ἐρχόμενοι κοντά, φέρνοντές του ξύδι,

37 Καὶ ἔλεγαν· ἂν ἐσὺ εἶσαι ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσε τὸν λόγου σου.

38 Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς· ΟΥΤΟΣ ΕΣΤΙΝ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

39 Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτόν, λέγων· Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς.

40 Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπέβλεψεν αὐτῷ, λέγων· Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ;

41 Καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξε.

42 Καὶ ἔλεγε τῷ Ἰησοῦ· Μνήσθητί με, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

43 Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· Ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

44 Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ' ὅλης τῆς γῆς, ἕως ὥρας ἐνάτης.

45 Καὶ ἐσκοτίσθη ὁ ἥλιος, καὶ ἐρράγη τὸ καταπέτασμα τοῦ ναοῦ μέσον.

46 Καὶ φωνήσας φωνῇ μεγάλῃ ὁ Ἰησοῦς εἶπε· Πάτερ, εἰς χεῖράς σου παρατίθεμαι τὸ πνεῦμα μου.

38 Ἦτον δὲ καὶ ἡ ἀπάνω γραφὴ γεγραμμένη ἀπάνω τοῦ μὲ γράμματα Ἑλληνικὰ καὶ Ῥωμαϊκὰ καὶ Ἑβραϊκά· ΕΤΟΥΤΟΣ ΕΙΝΑΙ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

39 Καὶ ἕνας ἀπὸ τοὺς κακοποιοὺς τοὺς κρεμασμένους ἐβλασφήμαν εἰς αὐτόν, καὶ ἔλεγε· ἂν εἶσαι ἐσὺ ὁ Χριστός, γλύτωσε καὶ τὸν λόγον σου καὶ ἐμᾶς.

40 Καὶ ὁ ἄλλος ἀπεκρίθη καὶ τοῦ ἀνείδισε, καὶ τοῦ εἶπε· δὲν φοβᾶσαι τὸν Θεόν, ὁποὺ ἐσὺ εἶσαι εἰς τὸ αὐτὸ κρῖμα;

41 Καὶ ἐμεῖς δικαίως τὸ πιδένομεν· διατὶ ἀπολαμβάνομεν ἄξια ἐκείνων ὁποὺ ἐπράξαμεν· ἀμὴ ἐτοῦτος κανένα ἄτοπον δὲν ἔκαμε.

42 Καὶ ἔλεγε εἰς τὸν Ἰησοῦν· ἀφέντη, ἐνθύμησε με ὅταν ἔλθῃς εἰς τὴν βασιλείαν σου.

43 Καὶ λέγει του ὁ Ἰησοῦς· βέβαια σοῦ λέγω, σήμερον μετεμένα θέλεις εἶσαι μέσα εἰς τὸν παράδεισον.

44 Καὶ ἦτον κοντὰ ἕκτη ὥρα τῆς ἡμέρας, καὶ ἔγινε σκοτάδι εἰς ὅλην τὴν γῆν, ἕως τὴν ἐνάτην ὥραν.

45 Καὶ ὁ ἥλιος ἐσκοτίσθη, καὶ τὸ σκέπασμα τοῦ ναοῦ ἐχώρισε εἰς τὴν μέσην.

46 Καὶ ὁ Ἰησοῦς ἐφώναξε φωνὴν μεγάλην καὶ εἶπε· πάτερ, εἰς τὰ χέρια σου παραδίνω

πνεῦμά μου. Καὶ ταῦτα εἰπὼν ἐξέπνευσεν.

47 Ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γενόμενον, ἐδόξασε τὸν Θεὸν, λέγων· Ὄντως ὁ ἄνθρωπος οὗτος δίκαιος ἦν.

48 Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες ἑαυτῶν τὰ στήθη ὑπέστρεφον.

49 Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ μακρόθεν, καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

50 Καὶ ἰδοὺ, ἀνὴρ ὀνόματι Ἰωσὴφ, βουλευτὴς ὑπάρχων, ἀνὴρ ἀγαθὸς καὶ δίκαιος,

51 (Οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν) ἀπὸ Ἀριμαθαίας πόλεως τῶν Ἰουδαίων· ὃς καὶ προσεδέχετο καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ.

52 Οὗτος προσελθὼν τῷ Πιλάτῳ, ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.

53 Καὶ καθελὼν αὐτὸ ἐνετύλιξεν αὐτὸ σινδόνι, καὶ ἔθηκεν αὐτὸ ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν οὐδέπω οὐδεὶς κείμενος.

54 Καὶ ἡμέρα ἦν παρασκευὴ, καὶ σάββατον ἐπέφωσκε.

55 Κα-

δίδου τὸ πνεῦμά μου. καὶ ὥσωνεν εἶπεν ἐτοῦτο ἐξεψύχησε.

47 Καὶ ὁ ἑκατόνταρχος ὡσὼν εἶδεν τὸ γενόμενον ὅτι οὕτως ἔλεγεν, ἐδόξασε τὸν Θεὸν, λέγωντας βέβαια ἐτοῦτο ὁ ἄνθρωπος ἦν δίκαιος.

48 Καὶ ὅλος ὁ λαὸς ὁπὸς ἐπῆγε μαζὺ εἰς τὴν θεωρίαν ἐκείνην, βλέποντας τὰ γενόμενα ὅπὸς ἐγίνοντο, κτυπῶντας τὰ στήθη τους ἐγύριζαν.

49 Καὶ ἐστέκοντο ὅλοι οἱ γνώριμοί του ἀπὸ μακρὰ, καὶ γυναῖκες ἡ ὁποίαις τὸν ἀκολουθοῦσαν ἀπὸ τὴν Γαλιλαίαν, τὰ ἔβλεπαν ἐτοῦτα.

50 Καὶ νά, ἦτον ἕνας ἄνθρωπος, τὸ ὄνομά του Ἰωσήφ, ἄνθρωπος ἀγαθὸς καὶ δίκαιος, ὁ ὁποῖος ἦτον βουλευτής·

51 Ἐτοῦτος δὲν ἐσυμφώνησεν εἰς τὴν βουλὴν καὶ εἰς τὴν πρᾶξιν αὐτῶν· ὁ ὁποῖος ἦτον ἀπὸ τὴν Ἀριμαθίαν πόλιν τῶν Ἰουδαίων, καὶ ἐπροσδέχετον καὶ αὐτὸς τὴν βασιλείαν τοῦ Θεοῦ.

52 Ἐτοῦτος ἐπῆγεν εἰς τὸν Πιλᾶτον, καὶ ἐζήτησε τὸ κορμὶ τοῦ Ἰησοῦ.

53 Καὶ τὸ ἐκατέβασε καὶ τὸ ἐτύλιξεν μὲ ἕνα σεντόνι, καὶ τὸ ἔβαλλεν εἰς ἕνα μνῆμα πελεκητὸν, εἰς τὸ ὁποῖον ἀκόμι κανεὶς δὲν ἦτον βαλμένος.

54 Καὶ ἡ ἡμέρα ἦτον παρασκευὴ, καὶ ἐπλησίαζε τὸ σάββατον.

55 Καὶ κατακολουθήσασαι αἱ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ.

56 Ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. Καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

55 Καὶ ἕπουσαι αἱ συνελθοῦσαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ.

56 Ὑποστρέψασαι δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. Καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

Κεφ. κδ'. 24.

Τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέως ἦλθον ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα· καί τινες σὺν αὐταῖς.

2 Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου.

3 Καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ.

4 Καὶ ἐγένετο ἐν τῷ ἀπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ, δύο ἄνδρες ἐπέστησαν αὐταῖς ἐν ἐσθῆσεσιν ἀστραπτούσαις.

5 Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;

6 Οὐκ ἔστιν ὧδε, ἀλλ' ἠγέρθη. Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ,

Ἀ Μὴ τῇ πρώτῃ ἡμέρᾳ τῆς ἑβδομάδος, σφόδρα πρωΐ, ἦλθαν εἰς τὸ μνῆμα οἱ γυναῖκες σὺν αἷς, καὶ ἔφεραν ἃ εἰδήσαμεν ὅτι ἑτοίμασαν· καὶ κάποιαι ἄλλαι μαζὶ μετ' αὐτῶν.

2 Καὶ εὗρον τὸν πέτρον κυλισμένον ἀπὸ τοῦ μνήματος.

3 Καὶ ἐμβαίνοντες μέσα δὲν εὗρον τὸ κορμὶ τοῦ Κυρίου Ἰησοῦ.

4 Καὶ σὲ ὅπου ἀπορεῖτο μὲ τοῦτο τὸ πρᾶγμα, νά, καὶ δύο ἄνδρες καὶ ἦλθαν εἰς αὐτὰς μὲ φορέματα ὅπου ἀστράπτουν·

5 Καὶ ἔχοντας νὰ φοβηθοῦν σφόδρα, καὶ νὰ βάλουν τὸ πρόσωπον τους κάτω εἰς τὴν γῆν, τοὺς εἶπαν· Τί ζητεῖτε τὸν ζωντανὸν μὲ τοὺς νεκρούς;

6 Δὲν εἶναι ἐδῶ, ἀλλ' ἀναστήθη. Συλλογισθῆτε καθὼς σᾶς εἶπε τότε, ὅταν ἀκόμι ἤτανε εἰς τὴν Γαλιλαίαν,

7 Λέ-

7 Λέ-

7 Λέγων· Ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι· καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.

8 Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ.

9 Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς.

10 Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἱ ἔλεγον τοῖς ἀποστόλοις ταῦτα.

11 Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς.

12 Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον· καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, θαυμάζων τὸ γεγονός.

13 Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς.

14 Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων.

15 Καὶ

7 Λέγοντας· ὅτι κάμοι χρεία ὁ υἱὸς τοῦ ἀνθρώπου νὰ παραδοθῇ εἰς χέρια ἀνθρώπων ἁμαρτωλῶν, καὶ νὰ σταυρωθῇ· καὶ τῇ τρίτῃ ἡμέρᾳ νὰ ἀναστηθῇ.

8 Καὶ ἐθυμήθηκαν τὰ λόγια του.

9 Καὶ ὡσὰν ἐγύρισαν ἀπὸ τὸ μνῆμα, τὰ εἶπαν ὅλα ἐτοῦτα εἰς τοὺς ἕνδεκα, καὶ εἰς ὅλους τοὺς ἐπιλοίπους.

10 Καὶ ἦταν ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, ἡ Μαρία τοῦ Ἰακώβου, καὶ ἡ ἐπιλοιπους μαζὺ μετ' αὐτάς, αἱ ὁποίαις ἔλεγαν εἰς τοὺς ἀποστόλους ἐτοῦτα.

11 Καὶ ἐφάνηκαν ὁμπρωστοῦ τους ὡσὰν φλυαρία τὰ λόγια τους, καὶ δὲν τοὺς ἐπίστευσαν.

12 Καὶ ὁ Πέτρος ἐσηκώθη καὶ ἔτρεξεν καὶ ἤλθεν εἰς τὸ μνῆμα· καὶ σκύβοντας βλέπει μοναχὰ τὰ σενδόνια ὁποῦ ἐκοίτουνταν· καὶ ἐγύρισεν ὀπίσω, καὶ ἐθαύμαζε μέσα τὸ μυαλό του ὁποῦ ἔγινε.

13 Καὶ νά, δύο ἀπ' αὐτοὺς ὁποῦ ἐπηγαίνασιν αὐτὴν τὴν ἡμέραν εἰς μίαν χώραν, ἡ ὁποία ἦταν μακρὰ ἀπὸ τὴν Ἱερουσαλὴμ ἑξῆντα σταδία, τ' ὄνομά της Ἐμμαούς·

14 Καὶ ἐτοῦτοι ἐσυντύχαιναν ἀνάμεσό τους διὰ ὅλα ἐτοῦτα ὁποῦ ἐσυμβήκαν.

15 Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς.

16 Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν.

17 Εἶπε δὲ πρὸς αὐτούς· Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστε σκυθρωποί;

18 Ἀποκριθεὶς δὲ ὁ εἷς ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· Σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις;

19 Καὶ εἶπεν αὐτοῖς· Ποῖα; Οἱ δὲ εἶπαν αὐτῷ· Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ.

20 Ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν.

21 Ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ' οὗ ταῦτα ἐγένετο.

22 Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ

15 Καὶ ἐγένετο ὅτε ἐσωμίλουν καὶ ἐδιαλογίζοντο, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐσήμωσε καὶ ἐπορεύετο μετ' αὐτῶν.

16 Καὶ τὰ μάτια τους ἐμποδίζοντο νὰ μὴν τὸν γνωρίσουν.

17 Καὶ εἶπέν τους· Τί εἶναι τὰ λόγια αὐτὰ ὁποὺ συμπιάνετε ἕνας μὲ τὸν ἄλλον ἐδῶ ὁποὺ περιπατεῖτε, καὶ εἶστε συννεφωμένοι;

18 Καὶ ἀπεκρίθη ὁ ἕνας τὸ ὄνομά του Κλεόπας, καὶ εἶπέν του· Ἐσὺ κατοικοῦντας εἰς τὴν Ἱερουσαλὴμ, μόνος δὲν ἠξεύρεις σὲ ἐσᾶς ὁποὺ ἐγίνηκαν μέσα εἰς αὐτὴν εἰς τοῦς ἡμέρας ἐτούτας;

19 Καὶ λέγει του· Ποῖα; καὶ σὲ εἶπαν· Τὰ σχετικὰ ὁποὺ ἐγίνηκαν διὰ τὸν Ἰησοῦν τὸν Ναζωραῖον· ὁποὺ ἐγίνη ἄνθρωπος προφήτης, δυνατὸς καὶ εἰς ἔργα καὶ εἰς λόγια ὁμπρὸς εἰς τὸν Θεὸν, καὶ εἰς ὅλον τὸν λαόν.

20 Καὶ πῶς τὸν ἐπαραδώκαν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντές μας εἰς κρῖμα θανάτου, καὶ τὸν ἐσταύρωσαν.

21 Καὶ ἐμεῖς ἠλπίζαμεν ὅτι αὐτὸς εἶναι σὲ ἐκεῖνος ὁποὺ μέλει νὰ ἐλευθερώσῃ τὸν Ἰσραήλ· ὅμως μὲ τοῦτα ὅλα τρεῖς ἡμέρας μὲ τούτην τὴν ἡμέραν ἔχει σήμερον, ἀφότου ἐγίνηκαν ἐτοῦτα.

22 Ἀλλὰ καὶ κάποιαις γυναῖ-

κοιαις

ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμενοι ὄρθριοι ἐπὶ τὸ μνημεῖον·

23 Καὶ μὴ εὑρόντες τὸ σῶμα αὐτοῦ, ἦλθον, λέγοντες καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν.

24 Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον.

25 Καὶ αὐτὸς εἶπε πρὸς αὐτάς· Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται·

26 Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ;

27 Καὶ ἀρξάμενος ἀπὸ Μωσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν, διερμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ αὐτοῦ.

28 Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι.

29 Καὶ παρεβιάσαντο αὐτὸν, λέγοντες· Μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα. Καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς.

30 Καὶ ἐγένετο ἐν τῷ κατακλι-

καιρὸς ἀπὸ ταῖς ἐδικαίας μας μᾶς ἐξετρόμαζαν, οἳ ὁποῖοις ἐπῆγαν τὴν αὐγὴν εἰς τὸ μνῆμα·

23 Καὶ μὲ τὸ νὰ μὴν εὕρουσι τὸ κορμὶ τοῦ Ἰησοῦ, ἦλθαν καὶ ἔπαιναν πὼς νὰ εἴδασι καὶ ὀπτασίαν ἀγγέλων, οἳ ὁποῖοι ἄγγελοι λέγουσιν αὐτὸν πὼς νὰ ζῇ.

24 Καὶ ἐπῆγαν κάποιοι ἀπ' ὁμέτνες ὁποῦ ἦταν μαζὺ μετ' ἐμᾶς εἰς τὸ μνῆμα, καὶ εὗρηκαν ἔτζι καθὼς εἶπαν καὶ αἱ γυναῖκαις· ἀμὰ αὐτὸν δὲν τὸν εἶδαν.

25 Καὶ αὐτὸς τὰς εἶπεν· ὦ ἄγνωσοι καὶ βραδεῖς τῇ καρδίᾳ εἰς τὸ νὰ πιστεύετε εἰς ὁμέτνα ὅλα ὁποῦ ἐλάλησαν οἱ προφῆται·

26 Δὲν ἔπρεπε νὰ ἔβ πάθῃ ἐτοῦτο ὁ Χριστὸς, καὶ νὰ ἔμβῃ εἰς τὴν δόξαν τοῦ;

27 Καὶ ἀρχίζοντας ἀπὸ τὸν Μωϋσέα καὶ ἀπὸ ὅλους τοὺς προφήτας, τοὺς ἐξήγησεν ἔβ πράγματα ὁποῦ ἐγράφηκαν μέ. λόγου τοῦ εἰς ὅλαις τοῦς γραφαῖς.

28 Καὶ ἐπλησίασαν εἰς τὴν χώραν ὁποῦ ἐπήγαιναν· καὶ αὐτὸς ὁμοιώθη πὼς πάγῃ μακρύτερα.

29 Καὶ τὸν ἐβίασαν, λέγοντες· μεῖνε μετ' ἐμᾶς, ὅτι βραδιάζῃ, καὶ ἐπέρασεν ἡ ἡμέρα. καὶ ἐμβῆκε μέσα νὰ μείνῃ μετ' αὐτοὺς.

30 Καὶ ὅταν ὁμάδησεν αὐτὸς

κλιθῆναι αὐτὸν μετ' αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς.

31 Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ' αὐτῶν.

32 Καὶ εἶπον πρὸς ἀλλήλους· Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς;

33 Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς,

34 Λέγοντας· Ὄντως ἠγέρθη ὁ Κύριος, καὶ ὤφθη Σίμωνι.

35 Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ· καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

36 Ταῦτα δὲ αὐτῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

37 Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι ἐδόκουν πνεῦμα θεωρεῖν.

38 Καὶ εἶπεν αὐτοῖς· Τί τεταραγμένοι ἐστὲ, καὶ διατί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν;

39 Ἴδε-

τος μετ' αὐτὰς, ἔπηξε τὸ ψωμὶ, καὶ τὸ εὐλόγησε, καὶ ἔκοψε καὶ τὰς ἔδιδε.

31 Καὶ τότε ἀνοίχθηκαν οἱ μάτιά τους, καὶ τὸν ἐγνώρισαν· καὶ αὐτὸς ἔχινεν ἀφαντος ἀπ' αὐτούς.

32 Καὶ εἶπαν ἀνάμεσά τους· δὲν ἦτον ἡ καρδιά μας καιμένη εἰς ἐμᾶς, ὅσον μᾶς ἐλάλη εἰς τὸν δρόμον, καὶ ὅταν μᾶς ἐξήγαν τὰς γραφάς;

33 Καὶ αὐτὴ σηκωνόμποι, ἐγύρισαν τὴν ὥραν εἰς τὴν Ἱερουσαλήμ, καὶ εὗρῆκαν μαζωμένους τοὺς ἕνδεκα, καὶ τοὺς ἄλλους ὁποὺ ἦταν μαζὺ μετ' αὐτούς,

34 Ὁποὺ ἔλεγαν· Ὅτι ὁ Κύριος ἀνεστάθη βέβαια, καὶ ἐφάνη εἰς τὸν Σίμωνα.

35 Καὶ αὐτοὶ οἱ δύο ὁποὺ ἤλθαν ἐδιηγοῦντον καὶ ἀφηγήματα ὁποὺ ἔγιναν εἰς τὸν δρόμον· καὶ πῶς τὸν ἐγνώρισαν ὅταν ἔκοπε τὸ ψωμί.

36 Καὶ ἐκεῖ ὁποὺ ἔλεγαν αὐτοὶ αὐτὰ καὶ λόγια, αὐτὸς ὁ Ἰησοῦς ἐστάθη εἰς τὴν μέσην τους, καὶ λέγει τους· εἰρήνη εἰς ἐσᾶς.

37 Καὶ ἔχοντας νὰ φοβηθοῦσι δυνατὰ καὶ νὰ τρομάξουν, τοὺς ἐφαίνετον νὰ βλέπουν πνεῦμα.

38 Καὶ λέγει τους· Διατί εἶσθε συγχισμένοι; καὶ διατί λογισμοὶ ἀναβαίνουσιν εἰς τὰς καρδίας σας;

39 Ἴδε-

39 Ἴδετε τὰς χεῖράς με καὶ τοὺς πόδας μου· ὅτι αὐτός ἐγώ εἰμι· ψηλαφήσατέ με καὶ ἴδετε· ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.

40 Καὶ τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας.

41 Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· Ἔχετέ τι βρῶσιμον ἐνθάδε;

42 Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου.

43 Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγε.

44 Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωσέως, καὶ προφήταις, καὶ ψαλμοῖς περὶ ἐμοῦ.

45 Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς.

46 Καὶ εἶπεν αὐτοῖς· Ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ,

47 Καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα

39 Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου· ὅτι αὐτός εἰμι ἐγώ· ψηλαφήσατέ με καὶ ἴδετε· ὅτι τὸ πνεῦμα σάρκα καὶ κόκκαλα οὐκ ἔχει, καθὼς βλέπετε ἐμέ να ὅτι ἔχω.

40 Καὶ τοῦτο εἰπὼν ἔδειξε τοῦτο, τὰς χεῖρας τοῦ καὶ τοὺς πόδας.

41 Καὶ ἔτι αὐτῶν ἀπιστούντων ἀπὸ τὴν χαρὰν τοῦς, καὶ θαυμάζοντων, τοῦς εἶπε· ἔχετε τίποτε φαγιστεὸν ἐδῶ;

42 Καὶ ἐκεῖνοι τοῦ ἔδωκαν ἕνα κομμάτι ψάρι ψητὸν, καὶ ἀπὸ μελόπητα.

43 Καὶ ἐπῆρεν ὁμπρὸς τοῦς καὶ ἔφαγε.

44 Καὶ εἶπέν τοῦς· ἐτοῦτα εἶναι ἐκεῖνα ὅπου σᾶς ἐλάλησα ἀκόμι ὄντας μετοῦς, ὅτι πῶς κάμνει χρεία νὰ πληρωθοῦν ὅλα ἐκεῖνα ὅπου εἶναι γραμμένα εἰς τὸν νόμον τοῦ Μωϋσέως, καὶ εἰς τοὺς προφήτας, καὶ εἰς τοὺς Ψαλμοὺς διὰ λόγου μου.

45 Τότε τοὺς ἄνοιξε τὸ νοῦν τοῦς, νὰ καταλάβουν τοῦς γραφάς.

46 Καὶ εἶπέν τοῦς· ὅτι ἔτζι εἶναι γραμμένον· καὶ τετοιος λογῆς ἐκαμνε χρεία νὰ πάθῃ ὁ Χριστὸς· καὶ τὴν τρίτην ἡμέραν νὰ ἀναστηθῇ ἀπὸ τοὺς νεκρούς·

47 Καὶ νὰ κηρυχθῇ εἰς τὸ ὄνομά του μετάνοια καὶ ἄφεσις ἁμαρτιῶν εἰς ὅλα τὰ ἔθνη,

δεχό-

πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ.

48 Ὑμεῖς δὲ ἐστε μάρτυρες τούτων.

49 Καὶ ἰδοὺ, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

50 Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν· καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς.

51 Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν.

52 Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης.

53 Καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

ἐξερχόμενοι ἀπὸ τῆς Ἱερουσαλήμ.

48 Καὶ ὑμεῖς ἐστε μάρτυρες τούτων.

49 Καὶ ἰδοὺ, ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε εἰς τὴν πόλιν Ἱερουσαλήμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

50 Καὶ ἐξήγαγεν αὐτοὺς ἔξω ἕως εἰς τὴν Βηθανίαν· καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς.

51 Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ' αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν.

52 Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς τὴν Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης·

53 Καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.

ΤΟ ΚΑΤΑ ΙΩΑΝΝΗΝ ΕΥΑΓΓΕΛΙΟΝ.

Κεφ. ά. 1.

Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος.

2 Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.

3 Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.

4 Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων·

5 καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

6 Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.

7 Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.

8 Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

9 Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

10 Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσ-

Εἰς τὴν ἀρχὴν ἦτον ὁ λόγος· καὶ ὁ λόγος ἦτον μὲ τὸν Θεόν· καὶ Θεὸς ἦτον ὁ λόγος.

2 Ἐτοῦτος ἦτον εἰς τὴν ἀρχὴν μὲ τὸν Θεόν.

3 Ὅλα (τὰ ποράγματα) διὰ μέσου του (λόγου) ἐγίνηκαν, καὶ χωρὶς αὐτὸν δὲν ἔγινε κανένα ἀπὸ ὅσα ἔγινεν.

4 Εἰς αὐτὸν ἦτον ζωὴ· καὶ ἡ ζωὴ ἦτον τὸ φῶς τῶν ἀνθρώπων·

5 καὶ τὸ φῶς εἰς τὸ σκοτάδι φέγγει, καὶ τὸ σκοτάδι δὲν τὸ ἐκαταλάβε.

6 Ἔγινεν ἕνας ἄνθρωπος ἀπεσταλμένος ἀπὸ τὸν Θεόν, τὸ ὄνομά του Ἰωάννης.

7 Ἐτοῦτος ἦλθεν εἰς μαρτυρίαν, νὰ μαρτυρήσῃ διὰ τὸ φῶς, διὰ νὰ πιστεύσουν ὅλοι διὰ μέσου του.

8 Δὲν ἦτον ἐκεῖνος τὸ φῶς, ἀλλὰ νὰ μαρτυρήσῃ διὰ τὸ φῶς.

9 Ἦτον τὸ φῶς τὸ ἀληθινόν, τὸ ὁποῖον φωτίζει κάθε ἄνθρωπον ὁποῦ ἔρχεται εἰς τὸν κόσμον.

10 Εἰς τὸν κόσμον ἦτον· καὶ ὁ

κόσμ῾ δι᾽ αὐτ῀ ἐγέν῾το· καὶ ὁ κόσμ῾ αὐτὸν οὐκ ἔγνω.

11 Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον.

12 Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θε῀ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτ῀·

13 Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ᾽ ἐκ Θε῀ ἐγεννήθησαν.

14 Καὶ ὁ λόγ῾ σὰρξ ἐγένετ῾ καὶ ἐσκήνωσεν ἐν ἡμῖν, (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτ῀, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς,) πλήρης χάριτ῀ καὶ ἀληθείας.

15 Ἰωάννης μαρτυρεῖ περὶ αὐτ῀, καὶ κέκραγε, λέγων· Οὗτ῀ ἦν ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμεν῀, ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν.

16 Καὶ ἐκ τ῀ πληρώματ῀ αὐτ῀ ἡμεῖς πάντες ἐλάβομεν, καὶ χάριν ἀντὶ χάριτ῀·

17 Ὅτι ὁ νόμ῾ διὰ Μωσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησ῀ Χριστ῀ ἐγένετο.

18 Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱὸς, ὁ ὢν εἰς τὸν

ὁ κόσμ῾ διὰ μέσ῀ αὐτ῀ ἔγνω· αὐτὸς ὁ κόσμ῾ δὲν τὸν ἐγνώρισεν.

11 Εἰς τὰ ἐδικά του ἦλθεν, καὶ οἱ ἐδικοί του δὲν τὸν ἐδέχθησαν.

12 Καὶ ὅσοι τὸν ἐδέχθησαν, εἰς αὐτοὺς ἔδωκεν ἐξουσίαν νὰ γένουν τέκνα Θε῀, (τουτ᾽ ἔστι) εἰς ἐκείνους ὁποὺ πιστεύουν εἰς τὸ ὄνομά του.

13 Οἱ ὁποῖοι δὲν ἐγεννήθησαν ἀπὸ αἵματα, οὐδὲ ἀπὸ θέλημα σαρκὸς, οὐδὲ ἀπὸ θέλημα ἀνδρὸς, ἀλλὰ ἀπὸ τὸν Θεὸν ἐγεννήθησαν.

14 Καὶ ὁ λόγ῾ ἔγινε σὰρξ, καὶ κατοίκησεν εἰς ἐμᾶς, καὶ ἐθεασάμεθα τὴν δόξαν του, δόξαν ὡσὰν (ἐκ῀) μονογενοῦς ἀπὸ τὸν πατέρα, γεμάτος χάριν καὶ ἀλήθειαν.

15 Ὁ Ἰωάννης ἐμαρτύρησε δι᾽ αὐτὸν, καὶ ἐκραύγασε, λέγοντας· ἐτοῦτ῀ ἦτανε ἐκεῖνος ὁποὺ εἶπα, ὅτι ὁποὺ ἔρχεται ὀπίσω μου, ἔγινε ὁμπρός μου· ὅτι ἦτον πρωτύτερός μου.

16 Καὶ ἀπὸ τὰ πληρώματά του ἐμεῖς ὅλοι ἀπολαύσαμεν, καὶ ἐπήραμεν χάριν ἀπάνω εἰς χάριν.

17 Ὅτι ὁ νόμ῾ ἐδόθη διὰ μέσ῀ τ῀ Μωϋσέως· (ἀμὴν) ἡ χάρις καὶ ἡ ἀλήθεια ἔγινε διὰ μέσ῀ τ῀ Ἰησ῀ Χριστ῀.

18 Τὸν Θεὸν δὲν τὸν εἶδεν ποτέ· ὁ μονογενὴς υἱὸς,

τὸν κόλπον τ̃ πατρὸς, ἐκεῖνος ἐξηγήσατο.

19 Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τ̃ Ἰωάννου, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων ἱερεῖς καὶ Λευίτας, ἵνα ἐρωτήσωσιν αὐτόν· Σὺ τίς εἶ;

20 Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο· καὶ ὡμολόγησεν· Ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.

21 Καὶ ἠρώτησαν αὐτόν· Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει· Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη· Οὔ.

22 Εἶπον οὖν αὐτῷ· Τίς εἶ; ἵνα ἀπόκρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις περὶ σεαυτ̃;

23 Ἔφη· Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁδὸν Κυρίου· καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης.

24 Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τ̃ Φαρισαίων.

25 Καὶ ἠρώτησαν αὐτὸν, καὶ εἶπον αὐτῷ· Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης;

26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης, λέγων· Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε·

27 Αὐτός, ὁπίσω ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ οὐκ εἰμὶ ἐγὼ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τ̃ ὑποδήματος.

28 Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τ̃ Ἰορδάνου, ὅπου ἦν ὁ Ἰωάννης βαπτίζων.

29 Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν πρὸς αὐτὸν ἐρχόμενον, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τ̃ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τ̃ κόσμου.

30 Οὗτός ἐστιν ὑπὲρ οὗ ἐγὼ εἶπον· Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν.

31 Κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν ὕδατι βαπτίζων.

32 Καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων· Ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν.

33 Κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

34 Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τ̃ θεοῦ.

35 Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τ̃ μαθητῶν αὐτοῦ δύο·

36 Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τ̃ θεοῦ.

37 Καὶ ἤκουσαν οἱ δύο μαθηταὶ αὐτοῦ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ.

38 Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββεί, (ὃ λέγεται μεθερμηνευόμενον, διδάσκαλε) ποῦ μένεις;

39 Λέγει αὐτοῖς· Ἔρχεσθε καὶ ὄψεσθε. Ἦλθον οὖν καὶ εἶδον ποῦ μένει, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν ὡς δεκάτη.

40 Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τ̃ δύο τ̃ ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ.

41 Εὑρίσκει οὗτος πρῶτον τὸν ἴδιον ἀδελφὸν Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον Χριστός.

42 Καὶ ἤγαγε τὸν Σίμωνα πρὸς τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.

43 Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον· καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἀκολούθει μοι.

44 Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδὰ, ἐκ τ̃ πόλεως Ἀνδρέου καὶ Πέτρου.

45 Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν υἱὸν τ̃ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ.

46 Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε.

47 Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν.

48 Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑποκάτω τ̃ συκῆς, εἶδόν σε.

49 Ἀπεκρίθη Ναθαναὴλ καὶ λέγει αὐτῷ· Ῥαββεί, σὺ εἶ ὁ υἱὸς τ̃ θεοῦ, σὺ βασιλεὺς εἶ τ̃ Ἰσραήλ.

50 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τ̃ συκῆς, πιστεύεις· μείζω τούτων ὄψῃ.

51 Καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τ̃ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τ̃ ἀνθρώπου.

Καὶ τῇ τρίτῃ ἡμέρᾳ γάμος ἐγένετο ἐν Κανὰ τ̃ Γαλιλαίας· καὶ ἦν ἡ μήτηρ τ̃ Ἰησοῦ ἐκεῖ.

2 Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον.

3 Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τ̃ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσιν.

4 Καὶ λέγει αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου.

5 Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε.

6 Ἦσαν δὲ ἐκεῖ λιθιναὶ ὑδρίαι ἓξ κατὰ τὸν καθαρισμὸν τ̃ Ἰουδαίων κείμεναι, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς.

7 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Γεμίσατε τὰς ὑδρίας ὑδάτων. Καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω.

8 Καὶ λέγει αὐτοῖς· Ἀντλήσατε νῦν, καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. Οἱ δὲ ἤνεγκαν.

9 Ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον, καὶ οὐκ ᾔδει πόθεν ἐστὶν, οἱ δὲ διάκονοι ἤδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ, φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος,

10 Καὶ λέγει αὐτῷ· Πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι.

11 Ταύτην ἐποίησε τὴν ἀρχὴν τ̃ σημείων ὁ Ἰησοῦς ἐν Κανὰ τ̃ Γαλιλαίας, καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.

12 Μετὰ τοῦτο κατέβη εἰς Καπερναοὺμ, αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.

13 Καὶ ἐγγὺς ἦν τὸ πάσχα τ̃ Ἰουδαίων· καὶ ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς.

14 Καὶ εὗρε τοὺς πωλοῦντας βόας καὶ πρόβατα καὶ περιστερὰς, καὶ τοὺς κερματιστὰς καθημένους·

15 Καὶ ποιήσας φραγέλλιον ἐκ σχοινίων, πάντας ἐξέβαλε τὰ πρόβατα καὶ τοὺς βόας ἔξω τ̃ ἱεροῦ, καὶ τῶν κολλυβιστῶν ἐξέχεε τὸ κέρμα, καὶ τὰς τραπέζας ἀνέστρεψε·

16 Καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· Ἄρατε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τ̃ πατρός μου οἶκον ἐμπορίου.

17 Ἐμνήσθησαν δὲ οἱ μαθηταὶ αὐτοῦ ὅτι γέγραπται· Ὁ ζῆλος τ̃ οἴκου σου καταφάγεταί με.

18 Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ· Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς;

19 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.

20 Εἶπον οὖν οἱ Ἰουδαῖοι· Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν οἰκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;

21 Ἐκεῖνος δὲ ἔλεγε περὶ τ̃ ναοῦ τ̃ σώματος αὐτοῦ.

22 Ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγε· καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ὃν εἶπεν ὁ Ἰησοῦς.

23 Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα, ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει.

24 Αὐτὸς δὲ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν πάντας,

25 Καὶ διὰ τὸ μὴ χρείαν ἔχειν ἵνα τις μαρτυρήσῃ περὶ τ̃ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.

Ἦν δὲ ἄνθρωπος ἐκ τ̃ Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τ̃ Ἰουδαίων·

2 Οὗτος ἦλθε πρὸς αὐτὸν νυκτὸς, καὶ εἶπεν αὐτῷ· Ῥαββεί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ δύναται ταῦτα τὰ σημεῖα ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ.

3 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τ̃ θεοῦ.

4 Λέγει πρὸς αὐτὸν Νικόδημος· Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τ̃ μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι;

5 Ἀπεκρίθη Ἰησοῦς· Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τ̃ θεοῦ.

6 Τὸ γεγεννημένον ἐκ τ̃ σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τ̃ πνεύματος πνεῦμά ἐστι.

7 Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι· Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν.

8 Τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημένος ἐκ τ̃ πνεύματος.

9 Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ· Πῶς δύναται ταῦτα γενέσθαι;

10 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ διδάσκαλος τ̃ Ἰσραὴλ, καὶ ταῦτα οὐ γινώσκεις;

11 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτι ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε.

12 Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε;

13 Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τ̃ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ.

14 Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τ̃ ἀνθρώπου,

15 Ἵνα πᾶς ὁ πιστεύων ἐν αὐτῷ μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

16 Οὕτω γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

17 Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.

18 Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τ̃ μονογενοῦς υἱοῦ τ̃ θεοῦ.

19 Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ αὐτῶν πονηρὰ τὰ ἔργα.

20 Πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ.

21 Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα.

22 Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν· καὶ ἐκεῖ διέτριβε μετ' αὐτῶν καὶ ἐβάπτιζε.

23 Ἦν δὲ καὶ ὁ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τ̃ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο·

24 Οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν Ἰωάννης.

25 Ἐγένετο οὖν ζήτησις ἐκ μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου περὶ καθαρισμοῦ.

26 Καὶ ἦλθον πρὸς τὸν Ἰωάννην, καὶ εἶπον αὐτῷ· Ῥαββεί, ὃς ἦν μετὰ σοῦ πέραν τ̃ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν.

27 Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· Οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδὲν ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τ̃ οὐρανοῦ.

28 Αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον· Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστὸς, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

29 Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τ̃ νυμφίου ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τ̃ νυμφίου· αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται.

30 Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

31 Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν· ὁ ὢν ἐκ τ̃ γῆς ἐκ τ̃ γῆς ἐστι, καὶ ἐκ τ̃ γῆς λαλεῖ· ὁ ἐκ τ̃ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν.

32 Ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ· καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει.

33 Ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ θεὸς ἀληθής ἐστιν.

34 Ὃν γὰρ ἀπέστειλεν ὁ θεὸς, τὰ ῥήματα τ̃ θεοῦ λαλεῖ· οὐ γὰρ ἐκ μέτρου δίδωσι τὸ πνεῦμα.

35 Ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.

36 Ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται ζωὴν, ἀλλ' ἡ ὀργὴ τ̃ θεοῦ μένει ἐπ' αὐτόν.

Ὡς οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης,

2 (Καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ)

3 Ἀφῆκε τὴν Ἰουδαίαν, καὶ ἀπῆλθε πάλιν εἰς τὴν Γαλιλαίαν.

4 Ἔδει δὲ αὐτὸν διέρχεσθαι διὰ Σαμαρείας.

5 Ἔρχεται οὖν εἰς πόλιν τ̃ Σαμαρείας λεγομένην Συχάρ, πλησίον τ̃ χωρίου ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ.

6 Ἦν δὲ ἐκεῖ πηγὴ τ̃ Ἰακώβ. Ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τ̃ ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡς ἕκτη.

7 Ἔρχεται γυνὴ ἐκ τ̃ Σαμαρείας ἀντλῆσαι ὕδωρ. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πεῖν.

8 Οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσιν.

9 Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρῖτις· Πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πεῖν αἰτεῖς, γυναικὸς Σαμαρίτιδος οὔσης; Οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρίταις.

10 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Εἰ ἤδεις τὴν δωρεὰν τ̃ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι· Δός μοι πεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἂν σοὶ ὕδωρ ζῶν.

11 Λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν;

12 Μὴ σὺ μείζων εἶ τ̃ πατρὸς ἡμῶν Ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ τὰ θρέμματα αὐτοῦ;

13 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν·

14 Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα· ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον.

15 Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ διέρχωμαι ἐνθάδε ἀντλεῖν.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ὕπαγε φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε.

17 Ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν· Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπας ὅτι ἄνδρα οὐκ ἔχω·

18 Πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἰρηκας.

19 Λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ.

20 Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου προσκυνεῖν δεῖ.

21 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, πίστευσόν μοι ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί.

22 Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τ̃ Ἰουδαίων ἐστίν.

23 Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν.

24 Πνεῦμα ὁ θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.

25 Λέγει αὐτῷ ἡ γυνή· Οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν ἅπαντα.

26 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι, ὁ λαλῶν σοι.

27 Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμαζον ὅτι μετὰ γυναικὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπε· Τί ζητεῖς; ἢ· Τί λαλεῖς μετ' αὐτῆς;

28 Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ, καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις·

29 Δεῦτε ἴδετε ἄνθρωπον ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός;

30 Ἐξῆλθον οὖν ἐκ τ̃ πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν.

31 Ἐν τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ, λέγοντες· Ῥαββεί, φάγε.

32 Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐγὼ βρῶσιν ἔχω φαγεῖν ἣν ὑμεῖς οὐκ οἴδατε.

33 Ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν;

34 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐμὸν βρῶμά ἐστι ἵνα ποιῶ τὸ θέλημα τ̃ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον.

35 Οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός ἐστι καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θερισμόν.

36 Καὶ ὁ θερίζων μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων.

37 Ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινός· ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων.

38 Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.

39 Ἐκ δὲ τ̃ πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τ̃ Σαμαρειτῶν διὰ τὸν λόγον τ̃ γυναικὸς μαρτυρούσης ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα.

40 Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.

41 Καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ·

42 Τῇ τε γυναικὶ ἔλεγον ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τ̃ κόσμου, ὁ Χριστός.

43 Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν εἰς τὴν Γαλιλαίαν.

44 Αὐτὸς γὰρ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει.

45 Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ὅσα ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν.

46 Ἦλθε πάλιν εἰς τὴν Κανὰ τ̃ Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. Καὶ ἦν τις βασιλικὸς οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ.

47 Οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τ̃ Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτὸν, καὶ ἠρώτα ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱὸν, ἤμελλε γὰρ ἀποθνήσκειν.

48 Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν· Ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε.

49 Λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου.

50 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, ὁ υἱός σου ζῇ. Ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ὃν εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐπορεύετο.

51 Ἤδη δὲ αὐτοῦ καταβαίνοντος, οἱ δοῦλ

27 Αὐτός ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν· ὃ ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος.

28 Ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βαπτίζων.

29 Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

30 Οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν· ὅτι πρῶτός μου ἦν.

31 Κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων.

32 Καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων· Ὅτι τεθέαμαι τὸ πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ οὐρανοῦ, καὶ ἔμεινεν ἐπ' αὐτόν.

33 Κἀγὼ οὐκ ἤδειν αὐτόν· ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ.

34 Κἀ-

27 Αὐτὸς ἐστιν ὁ ὀπίσω μου ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν· ὃ ἐγὼ οὐκ εἰμὶ ἄξιος ἵνα λύσω τὸν ἱμάντα τοῦ ὑποδήματος.

28 Ταῦτα ἐγένοντο ἐν Βηθαβαρᾷ πέραν τοῦ Ἰορδάνου, ἐκεῖ ὅπου ἦν ὁ Ἰωάννης βαπτίζων.

29 Τῇ αὐριονίῳ (ἡμέρᾳ) βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ὅπου ἔρχεται πρὸς αὐτόν, καὶ λέγει· ἰδοὺ ὁ ἀμνὸς τοῦ Θεοῦ ὅπου αἴρει καὶ ἀφαιρεῖ τὴν ἁμαρτίαν τοῦ κόσμου.

30 Ἔστιν ἐκεῖνος (ἐκείνου) περὶ τοῦ ὁποίου ἐγὼ εἶπα· ἀπίσω μου ἔρχεται ὁπίσω μου, ὁ ὁποῖος ἔγινε ἔμπροσθέν μου· ὅτι ἦτον πρῶτός μου.

31 Καὶ ἐγὼ δὲν τὸν ἤξευρα· ἀμὴ διὰ νὰ φανερωθῇ εἰς τὸν Ἰσραὴλ, διὰ τοῦτο ἦλθα ἐγὼ βαπτίζωνας εἰς τὸ νερό.

32 Καὶ ἐμαρτύρησεν ὁ Ἰωάννης, λέγωνας· ὅτι εἶδα τὸ Πνεῦμα ὅπου ἐκατέβαινεν ὡσὰν περιστέρι ἀπὸ τὸν οὐρανόν, καὶ ἔμενεν ἀπάνω του.

33 Καὶ ἐγὼ δὲν τὸν ἐγνώριζα· ἀμὴ ἐκεῖνος ὅπου μὲ ἔπεμψε νὰ βαπτίζω εἰς τὸ νερόν, ἐκεῖνος μοῦ εἶπεν· εἰς ὁποιον καὶ ἂν ἰδῇς τὸ Πνεῦμα ὅπου νὰ κατεβαίνῃ καὶ νὰ μένῃ εἰς αὐτόν, ἐκεῖνος εἶναι ὅπου βαπτίζει μὲ Πνεῦμα ἅγιον.

34 Καὶ

34 Καὶ ἐω ἑώρακα, καὶ μεμαρτύρηκα ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

35 Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

36 Καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.

37 Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ.

38 Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς·

39 Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββὶ (ὃ λέγεται ἑρμηνευόμενον, διδάσκαλε) πῦ μένεις;

40 Λέγει αὐτοῖς· Ἔρχεσθε καὶ ἴδετε. Ἦλθον καὶ εἶδον πῦ μένει· καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα δὲ ἦν ὡς δεκάτη.

41 Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ.

42 Εὑρίσκει οὗτος πρῶτον τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ· Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον ὁ Χριστός·

43 Καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν

34 Καὶ ἐγὼ τὸν εἶδα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

35 Καὶ τὴν αὔριον πάλιν εἱστήκει ὁ Ἰωάννης, καὶ ἀπὸ τῶν μαθητῶν δύο.

36 Καὶ βλέπων τὸν Ἰησοῦν ὅτι περιπατεῖ, λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.

37 Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ τοῦ λαλοῦντος, καὶ ἠκολούθησαν τὸν Ἰησοῦν.

38 Καὶ ὁ Ἰησοῦς στραφεὶς καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· τί ζητεῖτε; οἱ δὲ εἶπον αὐτῷ· Ῥαββί (ὃ ἐστι λεγόμενον μεθερμηνευόμενον διδάσκαλε) ποῦ μένεις;

40 Καὶ λέγει αὐτοῖς· ἔλατε καὶ ἴδητε. ἦλθαν καὶ εἶδαν ποῦ μένει· καὶ ἔμειναν παρ' αὐτῷ τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν ὡς δεκάτη (τῆς ἡμέρας).

41 Ἦν Ἀνδρέας ὁ ἀδελφὸς τοῦ Σίμωνος Πέτρου, εἷς ἀπὸ τῶν δύο, ὅς ἀκούσας παρὰ τοῦ Ἰωάννου ἐκείνου τὸν λόγον, καὶ ἀκολουθήσας τῷ Χριστῷ·

42 Καὶ ἐστιν οὗτος πρῶτος εὑρίσκει τὸν ἴδιον ἀδελφὸν τὸν Σίμωνα, καὶ λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν, τὸ ὁποῖον μεθερμηνευόμενον θέλει νὰ εἰπῇ ὁ Χριστός·

43 Καὶ ἔφερεν αὐτὸν εἰς τὸν Ἰησοῦν.

τὸν Ἰησοῦν. Εμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.

44 Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ· Ἀκολούθει μοι.

45 Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου.

46 Εὑρίσκει Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν τὸν υἱὸν Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ.

47 Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε.

48 Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι.

49 Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε.

50 Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββεί, σὺ εἶ ὁ υἱὸς

στιῶν. καὶ ὁ Ἰησοῦς ὡσεὶ τὴ εἶδεν, εἶπεν· ἐσὺ εἶσαι ὁ Σίμων ὁ υἱὸς τ' Ἰωνᾶ· ἐσὺ θέλεις κληθῆ Κηφᾶς, τὸ ὁποῖον θέλει νὰ εἰπῇ Πέτρος.

44 Καὶ τὴν αὐριανὴν ἡμέραν πάλιν ἠθέλησεν (ὁ Ἰησοῦς) νὰ βγῇ ἔξω εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει τὸν Φίλιππον καὶ λέγει τὸ· ἀκολούθα μου.

45 Καὶ ὁ Φίλιππος ἦτον ἀπὸ τὴν Βηθσαϊδὰ, ἀπὸ τὴν πόλιν τ' Ἀνδρέου καὶ Πέτρου.

46 Ὁ Φίλιππος εὑρέτην Ναθαναὴλ, καὶ λέγει τὸ· ἐκεῖνον ὁποῦ ἔγραψεν ὁ Μωϋσῆς εἰς τὸν νόμον καὶ οἱ προφῆται σύρνουν, Ἰησοῦν τὸν υἱὸν τ' Ἰωσὴφ ἀπὸ τὴν Ναζαρέτ.

47 Καὶ λέγει τὸ ὁ Ναθαναὴλ· ἀπὸ τὴν Ναζαρὲτ ἠμπορεῖ νὰ εἶναι τίποτες καλόν; λέγει τὸ ὁ Φίλιππος· ἔλα καὶ ἰδέ.

48 Καὶ ὁ Ἰησοῦς εἶδε τὸν Ναθαναὴλ ὁποῦ ἠρχουμοῦν εἰς αὐτὸν, καὶ εἶπε δι' αὐτόν· ἰδὲς ἀληθινὰ Ἰσραηλίτης, εἰς τὸν ὁποῖον δὲν εἶναι δόλος.

49 Λέγει τὸ ὁ Ναθαναὴλ· ἀπὸ πῦ με γνωρίζεις; ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπέ τὸ· πρὶ νὰ σὲ λαλήσῃ ὁ Φίλιππος, ὁποῦ ἤσουν ἀπὸ κάτω εἰς τὴν συκιάν, σὲ εἶδα.

50 Ὁ Ναθαναὴλ ἀπεκρίθη, καὶ λέγει τὸ· διδάσκαλε, ἐσὺ

ὑὸς Θεῦ, σὺ εἶ ὁ βασιλεὺς Ἰσραήλ.

51 Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ὅτι εἶπόν σοι· Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις· μείζω τούτων ὄψει.

52 Καὶ λέγει αὐτῷ· Ἀμὴν ἀμὴν λέγω ὑμῖν· Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν Ἀνθρώπου.

ἐστὶ εἶσαι ὁ υἱὸς Θεοῦ· ἐστὶ εἶσαι ὁ βασιλεὺς Ἰσραήλ.

51 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπέν τε· Δι᾽ ὃ σε εἶπα πῶς σε εἶδα ἀπὸ κάτω εἰς τὴν συκιάν, πιστεύεις; μεγαλίτερα ἀπὸ τούτου θέλεις ἰδῆ.

52 Καὶ λέγει τε· βέβαια βέβαια σοῖς λέγω· ἀπὸ τώρα καὶ ὁμωθοῦσε θέλετε ἰδῆ τ' οὐρανὸν ἀνοικτὸν, καὶ τὺς ἀγγέλους Θεοῦ ὅπου νὰ ἀναβαίνουσιν καὶ νὰ κατεβαίνουσιν εἰς τ' υἱὸν Ἀνθρώπου.

Κεφ. β'. 2.

Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας· καὶ ἦν ἡ μήτηρ Ἰησοῦ ἐκεῖ.

2 Ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον.

3 Καὶ ὑστερήσαντος οἴνου, λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· Οἶνον οὐκ ἔχουσι.

4 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου.

5 Λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· Ὅ, τι ἂν λέγῃ ὑμῖν, ποιήσατε.

6 Ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ, κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χω-

Καὶ τὴν τρίτην ἡμέραν ἔγινε γάμος εἰς τὴν Κανᾶ τ' Γαλιλαίας· καὶ ἐκεῖ ἦτον ἡ μητέρα Ἰησοῦ.

2 Καὶ ἐκάλεσαν καὶ τ' Ἰησοῦν, καὶ τὺς μαθητάδες τε εἰς τ' γάμον.

3 Καὶ ἔσωντας νὰ λείψῃ κρασὶ, λέγει εἰς τ' Ἰησοῦν ἡ μητέρα τε· κρασὶ δὲν ἔχουσιν.

4 Λέγει της ὁ Ἰησοῦς· ὦ γυναῖκα, τί ἔχῃς (νὰ κάμῃς) ἐσὺ μετεμένα; ἀκόμι δὲν ἦλθεν ἡ ὥρα μου.

5 Λέγει ἡ μητέρα τε εἰς τὺς ὑπηρέτας· Ὅ, τι κὴ σοῦς εἰπεῖ, κάμετε το.

6 Καὶ ἦταν ἐκεῖ πήγελα πέτρινα ἓξι, ὅπου ἐκείτουσαν διὰ καθαρισμὸν (κὴ τ' συνήθειαν) τῶν Ἰουδαίων· τὰ ὁποῖα

22 Λέγει αὐτῷ Ἰούδας (οὐκ ὁ Ἰσκαριώτης)· Κύριε, τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν, καὶ οὐχὶ τῷ κόσμῳ;

23 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ· Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν.

24 Ὁ μὴ ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με πατρός.

25 Ταῦ-

18 Καὶ οὐκ θέλω σᾶς ἀφῆσαι ὀρφανούς· ἔρχομαι (πάλιν) εἰς ἐσᾶς.

19 Ἀκόμι ὀλίγον, καὶ ὁ κόσμος πλέον δὲν μὲ βλέπει· ἀμὴ ἐσεῖς μὲ βλέπετε· ὅτι ἐγὼ ζῶ, καὶ ἐσεῖς θέλετε ζήσει.

20 Καὶ εἰς ἐκεῖνον τὸν ἡμέραν θέλετε γνωρίσει ἐσεῖς, ὅτι ἐγὼ εἶμαι εἰς τὸν πατέρα μου, καὶ ἐσεῖς εἰς ἐμένα, καὶ ἐγὼ εἰς ἐσᾶς.

21 Ἐκεῖνος ὁποῦ ἔχει τὰς ἐντολάς μου, καὶ τὰς φυλάττει, ἐκεῖνος ἐναι ὁποῦ μὲ ἀγαπᾷ· καὶ ἐκεῖνος ὁποῦ μὲ ἀγαπᾷ, θέλει ἀγαπηθῇ ἀπὸ τὸν πατέρα μου· καὶ ἐγὼ θέλω τὸν ἀγαπήσει, καὶ θέλω φανερώσει τὸν λόγον μου εἰς αὐτόν.

22 Λέγει τὸν ὁ Ἰούδας, ὄχι ὁ Ἰσκαριώτης· αὐθέντη, τί ἔγινε ὅτι μέλλεις νὰ φανερώσῃς τὸν λόγον σου εἰς ἐμᾶς, καὶ ὄχι εἰς τὸν κόσμον.

23 Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπέν του· ἂν μὲ ἀγαπᾷ τινάς, θέλει φυλάξει τὸν λόγον μου· καὶ ὁ πατήρ μου θέλει τὸν ἀγαπήσει, καὶ θέλομεν ἐλθῃ εἰς αὐτόν, καὶ θέλομεν κάμει κατοικίαν εἰς αὐτόν.

24 Ἐκεῖνος ὁποῦ δὲν μὲ ἀγαπᾷ, δὲν φυλάττει τοὺς λόγους μου· καὶ ὁ λόγος ὁποῦ ἀκούετε, δὲν εἶναι ἐδικός μου, ἀλλὰ τοῦ πατρὸς ὁποῦ μὲ ἔπεμψε.

25 Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων.

26 Ὁ δὲ παράκλητος, τὸ πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν.

27 Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω.

28 Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν· Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτε με, ἐχάρητε ἂν ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα· ὅτι ὁ πατήρ μου μείζων μού ἐστι.

29 Καὶ νῦν εἰρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα ὅταν γένηται, πιστεύσητε.

30 Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν.

31 Ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ πατήρ, οὕτω ποιῶ· ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.

25 Ταῦτα σᾶς ἐλάλησα ὅ[σον] ἐλοιπόμην εἰς ἐσᾶς.

26 Καὶ ὁ παράκλητος, [τὸ] Πνεῦμα τὸ ἅγιον, ὁποῦ μέλ[λει] νὰ πέμψῃ ὁ πατὴς εἰς τὸ ὄν[ομά] μου, ἐκεῖνος θελ[ήσ]ει σᾶς δ[ι]δάξῃ (ἐτζὶ σᾶ) ὅλα, καὶ θέλ[ει] σᾶς ἀναθυμίσῃ ὅλα ὅσα σᾶ[ς] εἶπα.

27 Εἰρήνη σᾶς ἀφίνω, [τὴ]ν εἰρήνη τὴν ἐδικήν μου σᾶ[ς] δίδω, ὄχι καθὼς δίδ[ει] ὁ κό[σ]μος, ἐγὼ σᾶς δίδω· καὶ [μ]ὴ μείνῃ ταραχὴ ἡ καρδία σας, μὴ ἤ νὰ φοβᾶται.

28 Ἀκούσετε ὅπ ἐγὼ σᾶς εἶπα· ὑπάγω καὶ πάλιν ἔρχομαι εἰς ἐσᾶς. ἂν με ἀγαπᾶτε, ἠθέλετε χαρῇ, ὅπ εἶπα, πάγω εἰς τὸ πατέρα· ὅπ ὁ πατὴρ μ[ου] εἶναι μεγαλίτερός μου.

29 Καὶ τῶρα σᾶς τὸ εἶπα πρὶ νὰ γένῃ· διὰ νὰ πιστέτε ὅταν γένῃ.

30 Πλέον δὲν θέλω σωπ[ολ]χὶ πολλὰ (λόγια) μετὰ σᾶς· διατὶ ἔρχε[τα]ι ὁ ἄρχ[ω]ν τοῦ κόσμου, καὶ δὲν [ἔ]χ[ει] τίποτες εἰς ἐμένα.

31 Ἀλλὰ διὰ νὰ γνωρί[σ]ῃ ὁ κόσμος, ὅπ ἀγαπῶ τὸ πα[τ]έρα· καθὼς μὲ ἐπαράγγ[ει]λεν ὁ πατὴρ, ἔτζι κάμνω· σ[η]κωθῆτε νὰ πᾶμεν ἀπ' ἐδῶ.

Κεφ. ιε'. 15.

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι.

2 Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ.

3 Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν.

4 Μείνατε ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν· καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε.

5 Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα· ὁ μένων ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.

6 Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη· καὶ συνάγουσιν αὐτὰ, καὶ εἰς πῦρ βάλλουσι, καὶ καίεται.

7 Ἐὰν μείνητε ἐν ἐμοὶ, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε, καὶ γενήσεται ὑμῖν.

8 Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή· καὶ ὑμεῖς κλήματα· καὶ ὁ πατήρ μου εἶνι ὁ γεωργός.

2 Κάθε κλῆμα ὅπου δὲν κάμνῃ καρπὸν εἰς ἐμένα, τὸ κόπτει· καὶ κάθε κλῆμα ὅπου κάμνει καρπὸν, τὸ καθαρίζει, διὰ νὰ κάμνῃ περισσότερον καρπόν.

3 Τώρα ἐσεῖς καθαροὶ εἶσθε διὰ τὸν λόγον ὅπου σᾶς εἶπα.

4 Μείνετε εἰς ἐμένα, κ' ἐγὼ εἰς ἐσᾶς· καθὼς τὸ κλῆμα δὲν ἠμπορεῖ νὰ κάμῃ καρπὸν ἀπὸ τὸν λόγον του, ἂν δὲν μείνῃ εἰς τὸ ἀμπέλι· ἔτζι κ' ἐσεῖς, ἂν δὲν μείνετε εἰς ἐμένα.

5 Ἐγὼ εἶμαι ἡ ἄμπελος, ἐσεῖς τὰ κλήματα· ὅποιος ὅπου μένει εἰς ἐμένα, καὶ ἐγὼ εἰς αὐτὸν, αὐτὸς κάμνει πολὺν καρπόν· διατὶ χωρὶς ἐμένα δὲν ἠμπορεῖτε νὰ κάμετε τίποτες.

6 Ἐὰν δὲν μείνῃ κανένας εἰς ἐμένα, ἐρρίχθη ἔξω σὰν τὸ κλῆμα, καὶ ἐξεράθη· καὶ τὰ μαζώνουσι, καὶ τὰ βάνουσιν εἰς τὴν φωτιὰ, καὶ καίουν.

7 Ἐὰν σᾶς μένουσι εἰς ἐμένα, καὶ τὰ λόγιά μου σᾶς μένουν εἰς ἐσᾶς, ὅ, τι θέλετε ζητήσει, θέλει σᾶς γένει.

8 Εἰς τοῦτο ἐδοξάσθη ὁ πατήρ μου, διὰ νὰ καρποφορῆσετε

ρητε· καὶ γενήσεσθε ἐμοὶ μαθηταί.

9 Καθὼς ἠγάπησέ με ὁ πατὴρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ.

10 Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ.

11 Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ.

12 Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμὴ, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.

13 Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ.

14 Ὑμεῖς φίλοι μού ἐστε, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν.

15 Οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου, ἐγνώρισα ὑμῖν.

16 Οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε, καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ·

σετε πολύ· καὶ ἔτζι θέλετε γενεῖ μαθηταί μου.

9 Καθὼς μὲ ἠγάπησεν ὁ πατὴρ, ἠγάπησα καὶ ἐγὼ ἐσᾶς· μείνατε εἰς τὴν ἀγάπην μου.

10 Ἐὰν φυλάξετε τοῦς παραγγελίας μου, θέλετε μείνῃ εἰς τὴν ἀγάπην μου· καθὼς ἐγὼ ἐφύλαξα τοῦς παραγγελίας τοῦ πατρός μου, καὶ μένω εἰς τὴν ἀγάπην του.

11 Ἐτοῦτα σᾶς ἐλάλησα, διὰ νὰ μείνῃ ἡ χαρά μου εἰς ἐσᾶς, καὶ ἡ χαρά σας νὰ πληρωθῇ.

12 Ἐτοῦτη εἶναι ἡ παραγγελία ἡ ἐδική μου, νὰ ἀγαπᾶτε ἕνας τὸν ἄλλον, καθὼς σᾶς ἠγάπησα.

13 Μεγαλίτερην ἀπὸ τοῦτην τὴν ἀγάπην κανένας δὲν ἔχει, ἀπὸ τὸ νὰ βάλῃ κανεὶς τὴν ζωήν του διὰ τοὺς φίλους του.

14 Ἐσεῖς φίλοι μου εἶστε, ἂν κάμνετε ὅσα σᾶς παραγγέλλω.

15 Δὲν σας λέγω πλέον δούλους, ὁποὺ ὁ δοῦλος δὲν ἐξεύρει τί κάμνει ὁ αὐθέντης του· ἀλλὰ ἐσᾶς σᾶς εἶπα φίλους, ὁποὺ ὅλα ὅσα ἠκουσα ἀπὸ τὸν πατέρα μου σᾶς τὰ ἐφανέρωσα.

16 Ἐσεῖς δὲν μὲ ἐδιαλέξετε, ἀλλὰ ἐγὼ σᾶς ἐδιάλεξα, καὶ σᾶς ἔβαλα, διὰ νὰ πᾶτε ἐσεῖς, νὰ φέρετε καρπόν, καὶ ὁ καρπός σας νὰ μένῃ· διὰ νὰ σᾶς

νη· ἵνα ὅ, τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν.

17 Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

18 Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν.

19 Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος.

20 Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· Οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν.

21 Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με.

22 Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν.

23 Ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ.

24 Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. 25 ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν.

26 Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· 27 καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε.

16 Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. 2 ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ. 3 καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. 4 ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα αὐτῶν, μνημονεύητε αὐτῶν ὅτι ἐγὼ εἶπον ὑμῖν.

Ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην· 5 νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις; 6 ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν τὴν καρδίαν ὑμῶν. 7 ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. 8 καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως· 9 περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· 10 περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· 11 περὶ κρίσεως δέ, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.

12 Ἔτι πολλὰ ἔχω ὑμῖν λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι· 13 ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς ἐν τῇ ἀληθείᾳ πάσῃ· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἀκούσει λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. 14 ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήμψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15 πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστιν· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λαμβάνει καὶ ἀναγγελεῖ ὑμῖν.

16 Μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα.

17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· Τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν· Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα; 18 ἔλεγον οὖν· Τί ἐστιν τοῦτο ὃ λέγει τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. 19 ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον· Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; 20 ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. 21 ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. 22 καὶ ὑμεῖς οὖν νῦν μὲν λύπην ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. 23 καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου δώσει ὑμῖν. 24 ἕως ἄρτι οὐκ ἠτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε καὶ λήμψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. 26 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε, καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν· 27 αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ θεοῦ ἐξῆλθον. 28 ἐξῆλθον παρὰ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα.

29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἴδε νῦν παρρησίᾳ λαλεῖς καὶ παροιμίαν οὐδεμίαν λέγεις. 30 νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. 31 ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἄρτι πιστεύετε; 32 ἰδοὺ ἔρχεται ὥρα καὶ ἐλήλυθεν ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια κἀμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστιν. 33 ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε· ἐν τῷ κόσμῳ θλῖψιν ἔχετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

17 Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς καὶ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπεν· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σέ, 2 καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. 3 αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσιν σὲ τὸν μόνον ἀληθινὸν θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. 4 ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον τελειώσας ὃ δέδωκάς μοι ἵνα ποιήσω· 5 καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

6 Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν κἀμοὶ αὐτοὺς ἔδωκας, καὶ τὸν λόγον σου τετηρήκασιν. 7 νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ εἰσιν· 8 ὅτι τὰ ῥήματα ἃ ἔδωκάς μοι δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. 9 ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσιν· 10 καὶ τὰ ἐμὰ πάντα σά ἐστιν καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. 11 καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσίν, κἀγὼ πρὸς σὲ ἔρχομαι. πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. 12 ὅτε ἤμην μετ' αὐτῶν ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι· καὶ ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. 13 νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ ἵνα ἔχωσιν τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν ἑαυτοῖς. 14 ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. 15 οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. 16 ἐκ τοῦ κόσμου οὐκ εἰσὶν καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. 17 ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστιν. 18 καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον· 19 καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα ὦσιν καὶ αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ.

20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ· 21 ἵνα πάντες ἓν ὦσιν, καθὼς σύ, πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ὦσιν ἵνα ὁ κόσμος πιστεύῃ ὅτι σύ με ἀπέστειλας. 22 κἀγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἓν ἐσμεν· 23 ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσιν τετελειωμένοι εἰς ἕν, καὶ γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς καθὼς ἐμὲ ἠγάπησας. 24 πάτερ, ὃ δέδωκάς μοι θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσιν μετ' ἐμοῦ, ἵνα θεωρῶσιν τὴν δόξαν τὴν ἐμὴν ἣν δέδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. 25 πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας· 26 καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ κἀγὼ ἐν αὐτοῖς.

18 Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τοῦ Κεδρών, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. 2 ἤδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. 3 ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. 4 Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν ἐξῆλθεν καὶ λέγει αὐτοῖς· Τίνα ζητεῖτε; 5 ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι. εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. 6 ὡς οὖν εἶπεν αὐτοῖς ὅτι Ἐγώ εἰμι, ἀπῆλθαν εἰς τὰ ὀπίσω καὶ ἔπεσαν χαμαί. 7 πάλιν οὖν ἐπηρώτησεν αὐτούς· Τίνα ζητεῖτε; οἱ δὲ εἶπαν· Ἰησοῦν τὸν Ναζωραῖον. 8 ἀπεκρίθη Ἰησοῦς· Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἀφετε τούτους ὑπάγειν· 9 ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι Οὓς δέδωκάς μοι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. 10 Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτὴν καὶ ἔπαισεν τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτάριον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. 11 εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιραν εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέν μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό;

12 Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτόν, 13 καὶ ἀπήγαγον πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. 14 ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ.

15 Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθεν τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, 16 ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὁ γνωστὸς τοῦ ἀρχιερέως καὶ εἶπεν τῇ θυρωρῷ καὶ εἰσήγαγεν τὸν Πέτρον. 17 λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος· Οὐκ εἰμί. 18 εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ καὶ ὁ Πέτρος μετ' αὐτῶν ἑστὼς καὶ θερμαινόμενος.

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησεν τὸν Ἰησοῦν περὶ τοῦ διδαχῆς αὐτοῦ καὶ περὶ τῶν μαθητῶν αὐτοῦ. 20 ἀπεκρίθη αὐτῷ Ἰησοῦς· Ἐγὼ παρρησίᾳ λελάληκα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντες οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. 21 τί με ἐρωτᾷς; ἐρώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι οἴδασιν ἃ εἶπον ἐγώ. 22 ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς παρεστηκὼς τῶν ὑπηρετῶν ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ εἰπών· Οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; 23 ἀπεκρίθη αὐτῷ Ἰησοῦς· Εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; 24 ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἄννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.

25 Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος· εἶπον οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἠρνήσατο ἐκεῖνος καὶ εἶπεν· Οὐκ εἰμί. 26 λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψεν Πέτρος τὸ ὠτίον· Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; 27 πάλιν οὖν ἠρνήσατο Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.

28 Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐα· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον ἵνα μὴ μιανθῶσιν ἀλλὰ φάγωσιν τὸ πάσχα. 29 ἐξῆλθεν οὖν ὁ Πιλᾶτος πρὸς αὐτοὺς ἔξω καὶ φησίν· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; 30 ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακὸν ποιῶν, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. 31 εἶπεν οὖν αὐτοῖς ὁ Πιλᾶτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα· 32 ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ ὃν εἶπεν σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

33 Εἰσῆλθεν οὖν πάλιν εἰς τὸ πραιτώριον ὁ Πιλᾶτος καὶ ἐφώνησεν τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; 34 ἀπεκρίθη Ἰησοῦς· Ἀπὸ σεαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι εἶπόν σοι περὶ ἐμοῦ; 35 ἀπεκρίθη Πιλᾶτος· Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; 36 ἀπεκρίθη Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίζοντο ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. 37 εἶπεν οὖν αὐτῷ ὁ Πιλᾶτος· Οὐκοῦν βασιλεύς εἶ σύ; ἀπεκρίθη Ἰησοῦς· Σὺ λέγεις ὅτι βασιλεύς εἰμι. ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. 38 λέγει αὐτῷ Πιλᾶτος· Τί ἐστιν ἀλήθεια;

Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν· 39 ἔστιν δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα· βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; 40 ἐκραύγασαν οὖν πάλιν πάντες λέγοντες· Μὴ τοῦτον ἀλλὰ τὸν Βαραββᾶν. ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

19 Τότε οὖν ἔλαβεν ὁ Πιλᾶτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσεν. 2 καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν, 3 καὶ ἔλεγον· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα. 4 ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλᾶτος καὶ λέγει αὐτοῖς· Ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν. 5 ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον. καὶ λέγει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος. 6 ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται ἐκραύγασαν λέγοντες· Σταύρωσον σταύρωσον. λέγει αὐτοῖς ὁ Πιλᾶτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. 7 ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν καὶ κατὰ τὸν νόμον ὀφείλει ἀποθανεῖν, ὅτι υἱὸν θεοῦ ἑαυτὸν ἐποίησεν. 8 ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος τὸν λόγον τοῦτον μᾶλλον ἐφοβήθη, 9 καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. 10 λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; 11 ἀπεκρίθη Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν· διὰ τοῦτο ὁ παραδούς με σοὶ μείζονα ἁμαρτίαν ἔχει.

12 Ἐκ τούτου ὁ Πιλᾶτος ἐζήτει ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἐκραύγασαν λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ Καίσαρι. 13 ὁ οὖν Πιλᾶτος ἀκούσας τοὺς λόγους τούτους ἤγαγεν ἔξω τὸν Ἰησοῦν καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ. 14 ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα ἦν ὡς ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν. 15 οἱ δὲ ἐκραύγασαν· Ἆρον ἆρον, σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλᾶτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω; ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. 16 τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ.

Παρέλαβον οὖν τὸν Ἰησοῦν καὶ ἀπήγαγον· 17 καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν ἐξῆλθεν εἰς τὸν λεγόμενον κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ Γολγοθᾶ, 18 ὅπου αὐτὸν ἐσταύρωσαν καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. 19 ἔγραψεν δὲ καὶ τίτλον ὁ Πιλᾶτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον· Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων. 20 τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ῥωμαϊστί, Ἑλληνιστί. 21 ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπεν· Βασιλεύς εἰμι τῶν Ἰουδαίων. 22 ἀπεκρίθη Πιλᾶτος· Ὃ γέγραφα γέγραφα.

23 Οἱ οὖν στρατιῶται ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου· 24 εἶπαν οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

25 Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτο

ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου.

25 Ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· Ὅτι ἐμίσησάν με δωρεάν.

26 Ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, (τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται) ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ.

27 Καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε.

ρα καὶ εἴδασι, καὶ ἐμίσησαν καὶ ἐμὲ καὶ τὸν πατέρα μου.

25 Ἀμὴ διὰ νὰ πληρωθῇ ὁ λόγος ὁποὺ εἶναι γεγραμμένος μέσα εἰς τὸν νόμον των· ὅτι δωρεὰν μὲ ἐμίσησαν.

26 Καὶ ὅταν ἔλθῃ ὁ παράκλητος, τὸ ὁποῖον ἐγὼ σᾶς θέλω πέμψει ἀπὸ τὸν πατέρα, τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ ὁποῖον ἐκπορεύεται ἀπὸ τὸν πατέρα, ἐκεῖνο θέλει μαρτυρήσει διὰ λόγου μου.

27 Ἀλλὰ καὶ ἐσεῖς μαρτυρεῖτε, ὅτι ἀπὸ τὴν ἀρχὴν μετ' ἐμοῦ εἶστε.

Κεφ. ις'. 16.

ΤΑῦτα λελάλησα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε.

2 Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

3 Καὶ ταῦτα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ.

4 Ἀλλὰ ταῦτα λελάληκα ὑμῖν, ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν, ὅτι ἐγὼ εἶπον ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην.

5 Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με· Ποῦ ὑπάγεις;

Ε'Τα῀υτα σᾶς ἐλάλησα, διὰ νὰ μὴν σκανδαλισθῆτε.

2 Θέλουν σᾶς διώξει ἀπὸ τὰς συναγωγάς· ἀλλὰ ἠξεύρετε ἔλθῃ ὥρα, ὁποὺ κάθε ἕνας ὁποὺ σᾶς σκοτώσῃ, νὰ τὸ φαντασθῇ πῶς φέρνει θυσίαν εἰς τὸν Θεόν.

3 Καὶ ἐτα῀υτα θέλουν σᾶς τὰ κάμῃ, διατὶ δὲν ἐγνώρισαν τὸν πατέρα, οὔτε ἐμέ.

4 Ἀλλὰ ἐτα῀υτα σᾶς τὰ εἶπα διὰ νὰ συλλογᾶσθε, ὅταν ἔλθῃ ἡ ὥρα, ὅτι ἐγὼ σᾶς τὰ εἶπα. καὶ ἀπὸ τὴν ἀρχὴν δὲν σᾶς τὰ εἶπα, διατὶ ἤμουν μετὰ σᾶς.

5 Ἀμὴ τώρα ὑπάγω εἰς ἐκεῖνον ὁποὺ μὲ ἔπεμψε· καὶ κανένας ἀπὸ σᾶς δὲν μὲ ἐρωτᾷ πῦ πηγαίνεις;

6 Ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν.

7 Ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν γὰρ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς.

8 Καὶ ἐλθὼν ἐκεῖνος, ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως.

9 Περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ·

10 Περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω, καὶ οὐκέτι θεωρεῖτέ με·

11 Περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται.

12 Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι.

13 Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ, λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν.

14 Ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν.

15 Πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι

6 Ἀλλὰ διότι ταῦτα ἐλάλησα ὑμῖν, ἡ λύπη ἐπλήρωσε τὴν καρδίαν σας.

7 Ἀλλ' ἐγὼ σᾶς λέγω τὴν ἀλήθειαν, ὠφέλιμον εἶναι εἰς ἐσᾶς, νὰ ὑπάγω ἐγώ· διότι ἂν ἐγὼ δὲν ὑπάγω, ὁ παράκλητος δὲν θέλει ἔλθει εἰς ἐσᾶς· ἀμὴ ἂν ὑπάγω, θέλω σᾶς τὸν πέμψει.

8 Καὶ ἐκεῖνος ὁποὺ ἔλθῃ, θέλει ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως.

9 Περὶ ἁμαρτίας, διότι δὲν πιστεύουσιν εἰς ἐμέ·

10 Περὶ δικαιοσύνης, ὅτι ἐγὼ ὑπάγω εἰς τὸν πατέρα μου, καὶ πλέον δὲν θέλετε μὲ εἰδῆ·

11 Καὶ περὶ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκρίθη.

12 Ἀκόμι πολλὰ ἔχω νὰ σᾶς εἰπῶ, ἀμὴ τώρα δὲν ἠμπορεῖτε νὰ τὰ βασταῖτε.

13 Ἀλλ' ὁποὺ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, θέλει σᾶς ὁδηγήσῃ εἰς ὅλην τὴν ἀλήθειαν· διότι δὲν θέλει λαλήσῃ ἀπὸ λογυ του, ἀλλ' ὅσα καὶ ἂν ἀκούσῃ, θέλει λαλήσῃ, καὶ ἐκεῖνα ὁποὺ μέλλει νὰ ἔλθουν θέλει σᾶς τὰ εἰπεῖ.

14 Ἐκεῖνος θέλει δοξάσῃ ἐμένα, διότι θέλει πάρῃ ἀπὸ τὸ ἐδικόν μου, καὶ θέλει σᾶς τὸ εἰπεῖ.

15 Ὅλα ὅσα ἔχει ὁ πατὴρ, ἐδικά μου εἶναι· διὰ τοῦτο εἶπα

ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀνα-
γγελεῖ ὑμῖν.

16 Μικρὸν, καὶ οὐ θεωρεῖτέ
με· καὶ πάλιν μικρὸν, καὶ
ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς
τὸν πατέρα.

17 Εἶπον οὖν ἐκ τῶν μαθητῶν
αὐτοῦ πρὸς ἀλλήλους· Τί ἐστι τοῦ-
το ὃ λέγει ἡμῖν· Μικρὸν, καὶ οὐ
θεωρεῖτέ με· καὶ πάλιν μι-
κρὸν, καὶ ὄψεσθέ με· καί· Ὅτι
ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα;

18 Ἔλεγον οὖν· Τοῦτο τί ἐστιν
ὃ λέγει, τὸ μικρόν; οὐκ οἴδα-
μεν τί λαλεῖ.

19 Ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι
ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν
αὐτοῖς· Περὶ τούτου ζητεῖτε μετ'
ἀλλήλων, ὅτι εἶπον· Μικρὸν,
καὶ οὐ θεωρεῖτέ με· καὶ πάλιν
μικρὸν, καὶ ὄψεσθέ με;

20 Ἀμὴν ἀμὴν λέγω ὑμῖν,
ὅτι κλαύσετε καὶ θρηνήσετε
ὑμεῖς, ὁ δὲ κόσμος χαρήσε-
ται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ
λύπη ὑμῶν εἰς χαρὰν γενήσε-
ται.

21 Ἡ γυνὴ ὅταν τίκτῃ, λύ-
πην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐ-
τῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον,
οὐκέτι μνημονεύει τῆς θλί-
ψεως, διὰ τὴν χαρὰν, ὅτι ἐγεν-
νήθη ἄνθρωπος εἰς τὸν κόσμον.

22 Καὶ ὑμεῖς οὖν λύπην μὲν
νῦν

ὅτι ἀπὸ

νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν.

23 Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν.

24 Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν.

26 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν·

27 Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον.

28 Ἐξῆλθον παρὰ τοῦ πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν πατέρα.

29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἰδὲ, νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις.

30 Νῦν

ἔχετε λύπην· πάλιν δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν.

23 Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν.

24 Ἕως τοῦ νῦν οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

25 Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παῤῥησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν.

26 Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν·

27 Αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον.

28 Ἐξῆλθον παρὰ τοῦ πατρὸς, καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον, καὶ πορεύομαι πρὸς τὸν πατέρα.

29 Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Ἰδὲ, νῦν παῤῥησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις.

30 Νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες.

31 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Ἄρτι πιστεύετε;

32 Ἰδοὺ, ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια, κἀμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστι.

33 Ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἔξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

30 Τώρα ἐξεύρομεν, ὅτι ὅλα τὰ γνωρίζεις, καὶ δὲν κάμνει χρεία νὰ σὲ ἐρωτᾷ τινάς· εἰς τοῦτο πιστεύομεν, ὅτι ἀπὸ τὸν Θεὸν ἐβγῆκες.

31 Ἀπεκρίθησεν ὁ Ἰησοῦς, τώρα πιστεύετε;

32 Νὰ, ὅπου ἔρχεται ὥρα, καὶ τώρα ἦλθεν, νὰ σκορπισθῆτε κάθε ἕνας εἰς τὰ ἴδια, καὶ ἐμένα νὰ ἀφήσετε μοναχόν· ἀλλὰ δὲν εἶμαι μοναχός, ὅτι ὁ πατὴρ μὲ εἶναι μετεμένα.

33 Ἐτέτοια σᾶς τὰ εἶπα, διὰ νὰ ἐχετε εἰρήνην εἰς ἐμένα. εἰς τὸν κόσμον θέλετε ἔχει θλίψιν· ἀλλὰ ἐχετε θάρρος, ἐγὼ ἐνίκησα τὸν κόσμον.

Κεφ. ιζ'. 17.

ΤΑῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σε δοξάσῃ σε·

2 Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκὸς, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον.

3 Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

4 Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω.

5 Καὶ

30 Τώρα ἐξεύρομεν, ὅτι ὅλα τὰ γνωρίζεις, καὶ δὲν κάμνει χρεία νὰ σὲ ἐρωτᾷ τινάς· εἰς τοῦτο πιστεύομεν, ὅτι ἀπὸ τὸν Θεὸν ἐβγῆκες.

31 Ἀπεκρίθησεν ὁ Ἰησοῦς, τώρα πιστεύετε;

32 Νὰ, ὅπου ἔρχεται ὥρα, καὶ τώρα ἦλθεν, νὰ σκορπισθῆτε κάθε ἕνας εἰς τὰ ἴδια, καὶ ἐμένα νὰ ἀφήσετε μοναχόν· ἀλλὰ δὲν εἶμαι μοναχός, ὅτι ὁ πατὴρ μὲ εἶναι μετεμένα.

33 Ἐτέτοια σᾶς τὰ εἶπα, διὰ νὰ ἐχετε εἰρήνην εἰς ἐμένα. εἰς τὸν κόσμον θέλετε ἔχει θλίψιν· ἀλλὰ ἐχετε θάρρος, ἐγὼ ἐνίκησα τὸν κόσμον.

Κεφ. ιζ'. 17.

ΤΑῦτα εἶπεν ὁ Ἰησοῦς, καὶ ἐσήκωσε τὰ μάτια του εἰς τὸν οὐρανὸν, καὶ εἶπεν· ὦ Πάτερ, ἦλθεν ἡ ὥρα, δόξασε τὸν γιόν σου, διὰ νὰ σὲ δοξάσῃ καὶ ὁ γιός σου·

2 Καθὼς τοῦ ἔδωκες ἐξουσίαν κάθε σάρκας, διὰ νὰ δώσῃ ζωὴν αἰώνιον εἰς ὅλες ὅσους τοῦ ἔδωκες.

3 Ἔτσι εἶναι ἡ ζωὴ ἡ αἰωνία, νὰ γνωρίζουσιν ἐσένα τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ἐκεῖνον ὁποὺ ἐστείλες τὸν Ἰησοῦν Χριστόν.

4 Ἐγὼ σὲ ἐδόξασα εἰς τὴν γῆν· τὸ ἔργον ὁποὺ μοῦ ἔδωκες διὰ νὰ κάμω, τὸ ἐτελείωσα.

5 Καὶ

5 Καὶ νῦν δόξασόν με σὺ πάτερ παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί.

6 Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν κἀμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι.

7 Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ εἰσιν·

8 ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι δέδωκα αὐτοῖς· καὶ αὐτοὶ ἔλαβον καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας.

9 Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι.

10 Καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς.

11 Καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, κἀγὼ πρός σε ἔρχομαι. Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς.

12 Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι

5 Καὶ πῶρα, ὦ Πάτερ, ἐσὺ δόξασόν με σημᾶ σὺ τὴν δόξαν, ὅπερ εἶχα εἰς ἐσένα πρὸ πατέρα πορὰ νὰ γένῃ ὁ κόσμος.

6 Ἐφανέρωσε τὸ ὄνομά σου εἰς σπείρες τὰς ἀνθρώπους ὁποὺ μὲ ἔδωκες ἀπὸ τὸν κόσμον· ἐδικοί σου ἦταν, κὲ μὲ τὰς ἔδωκες, κὲ ἐφύλαξαν τὸν λόγον σου.

7 Τῶρα ἐγνώρισαν, ὅτι ὅλα ὅσα μὲ ἔδωκες ἀπὸ λόγου σου εἶναι·

8 Ὅτι τὰ λόγια ὁποὺ μὲ ἔδωκες, τὰς ἔδωκα· καὶ αὐτοὶ τὰ ἐπῆραν, κὲ ἐγνώρισαν ἀληθιᾶ, ὅτι ἀπὸ ἐσένα βύγηκα, κὲ ἐπίστεψαν ὅτι ἐσὺ μὲ ἀπέστειλες.

9 Ἐγὼ δὲ αὐτὰς πορακαλῶ· ὄχι διὰ τὸν κόσμον πορακαλῶ, ἀλλὰ διὰ σπείρας ὁποὺ μὲ ἔδωκες, διατὶ εἶναι ἐδικοί σου.

10 Καὶ ὅλα μὲ ὅλα, ἐδικά σου εἶναι· κὲ ὅλα ἐδικά μου, ἐδικά μου· καὶ ἐδοξάσθηκα εἰς αὐτούς.

11 Καὶ δὲν εἶμαι πλέον εἰς τὸν κόσμον, ἀμὴ ἐτοῦτοι εἶναι εἰς τὸν κόσμον, κὲ ἐγὼ ἔρχομαι εἰς ἐσένα. Πάτερ ἅγιε, φύλαξέ τους εἰς τὸ ὄνομά σου, σπείρας ὁποὺ μὲ ἔδωκες, διατὶ νὰ εἶναι ἕνα, ὡσὰν κὲ ἐμεῖς.

12 Ὅταν ἤμουν μετ' αὐτὰς εἰς τὸν κόσμον, ἐγὼ τὰς ἐφύλαγα εἰς τὸ ὄνομά σου· σπείρας

μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τ ἀπωλείας· ἵνα ἡ γραφὴ πληρωθῇ.

13 Νῦν δὲ πρός σε ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς.

14 Ἐγὼ δέδωκα αὐτοῖς τ λόγον σε, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τ κόσμου.

15 Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τ πονηροῦ.

16 Ἐκ τ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τ κόσμου.

17 Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι.

18 Καθὼς ἐμὲ ἀπέστειλας εἰς τ κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τ κόσμον.

19 Καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ.

20 Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τ πιστευσόντων διὰ τ λόγου αὐτῶν εἰς ἐμέ·

21 Ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ πάτερ ἐν ἐμοί, κἀγὼ ἐν σοί,

ὅπως μὴ ἔδωκας τοὺς ἐφύλαξα· καὶ κανένας ἀπ' αὐτοὺς δὲν ἐχάθη, παρὰ ὁ υἱὸς τ ἀπωλείας· διὰ νὰ πληρωθῇ ἡ γραφή.

13 Ἀμὴ τώρα ἔρχομαι εἰς ἐσένα, καὶ λαλῶ ἐτοῦτα εἰς τ κόσμον, διὰ νὰ ἔχωσι τὴν χαρὰν τὴν ἐδικήν μου τελείαν εἰς τ λόγου τους.

14 Ἐγὼ τοὺς ἔδωκα τ λόγον σου· καὶ ὁ κόσμος τους ἐμίσησε, διατὶ δὲν εἶναι ἀπὸ τ κόσμου, καθὼς καὶ ἐγὼ δὲν εἶμαι ἀπὸ τ κόσμου.

15 Δὲν παρακαλῶ νὰ τοὺς σηκώσῃς ἀπὸ τ κόσμου, ἀλλὰ νὰ τοὺς φυλάξῃς ἀπὸ τ πονηροῦ.

16 Ἐκεῖνοι δὲν εἶναι ἀπὸ τ κόσμου, καθὼς καὶ ἐγὼ δὲν εἶμαι ἀπὸ τ κόσμου.

17 Ἁγίασέ τους εἰς τὴν ἀλήθειάν σου· ὁ λόγος ὁ δικός σου εἶναι ἀλήθεια.

18 Καθὼς ἔστειλες ἐμένα εἰς τ κόσμον, καὶ ἐγὼ ἔστειλα αὐτοὺς εἰς τ κόσμον.

19 Καὶ διὰ τούτους ἁγιάζω ἐγὼ τὸν ἑαυτόν μου, διὰ νὰ εἶναι καὶ αὐτοὶ ἁγιασμένοι εἰς τὴν ἀλήθειαν.

20 Καὶ ὄχι μόνον διὰ τούτους παρακαλῶ, ἀλλὰ ⸋ διὰ ὅσους ἔπειτα μέλλουν νὰ πιστεύσουν διὰ μέσου τ λόγου αὐτῶν εἰς ἐμέ·

21 Διὰ νὰ εἶναι ὅλοι ἕνα, καθὼς εἶσαι καὶ ἐσὺ πάτερ εἰς ἐμέ,

σοὶ, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας.

22 Καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἓν ἐσμεν.

23 Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας, καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας.

24 Πάτερ, ὃς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ· ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.

25 Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας.

26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω· ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

ἐμὴν, καὶ ἐγὼ εἰς ἐκείνους, καὶ ἓν ὦσιν καὶ αὐτοὶ ἓν εἰς ἡμᾶς· διὰ τοῦτο πιστεύῃ ὁ κόσμος ὅτι ἐσύ με ἀπέστειλας.

22 Καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι, δέδωκα αὐτοῖς· διὰ τοῦτο ἓν ὦσιν, καθὼς καὶ ἡμεῖς ἓν ἐσμεν ἕνα.

23 Ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, διὰ τοῦτο τετελειωμένοι εἰς ἕνα, καὶ διὰ τοῦτο γινώσκῃ ὁ κόσμος ὅτι ἐσύ με ἀπέστειλας· καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας.

24 Πάτερ, ἐκεῖνος ὃν δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, καὶ ἐκεῖνος ὦσι μετ' ἐμοῦ· διὰ τοῦτο βλέπωσι τὴν δόξαν τὴν ἐμὴν ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου.

25 Πάτερ δίκαιε, ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας.

26 Καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω· διὰ τοῦτο ἡ ἀγάπη ἣν ἠγάπησάς με, ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

Κεφ. Κεφ.

Κεφ. ιη'. 18.

Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.

2 Ἤδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον· ὅτι πολλάκις συνήχθη ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ.

3 Ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν, καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας, ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων.

4 Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν, ἐξελθὼν εἶπεν αὐτοῖς· Τίνα ζητεῖτε;

5 Ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐγώ εἰμι. Εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν, μετ' αὐτῶν.

6 Ὡς οὖν εἶπεν αὐτοῖς· Ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί.

7 Πάλιν οὖν αὐτὸς ἐπηρώτησε· Τίνα ζητεῖτε; Οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον.

8 Ἀπεκρίθη ὁ Ἰησοῦς· Εἶπαν

Σὰν εἶπε ταῦτα ὁ Ἰησοῦς, μὲ σύγκε μαζὺ μὲ τοὺς μαθητάδες τε (καὶ ἐπῆγε) πρὸ μπο τὸ ποτάμι ὁπὰ λέγετω κέδρων, ὁπού ἦτον κῆπος, εἰς τ' ὁποῖον ἐμβῆκε μέσα αὐτὸς καὶ οἱ μαθητάδες τε.

2 Καὶ ὁ Ἰούδας ὁπὰ τ' ἐπροδόδεν, ἤξερε τ' τόπο· διατὶ πολλὲς φορὰς ὁ Ἰησοῦς ἐπῆγε ὁμὲ μαζὺ μὲ τοὺς μαθητάδες τε.

3 Ὁ Ἰούδας λοιπὸν ἐπῆρε τὸ σύγμα τῶν σραπιωτῶν, καὶ ὑπηρέτας ἀπὸ τοὺς ἀρχιερεῖς ἐ φαρισαίους, καὶ ἦλθεν ὁμὲ μι φανοὺς καὶ λαμπάδες καὶ μ' ὅπλα.

4 Ὁ Ἰησοῦς λοιπὸν, ὁποὺ εἶδεν ὅλα ὁπεῖνα ὁπὰ ἤρχουνταν ἀπάνω τ', εὐγῆκεν ἔξω καὶ λέγει τους· τίνα ζητᾶτε;

5 Τ' ἀπεκρήκαν· Ἰησοῦν τ' Ναζωραῖον. λέγει τους ὁ Ἰησοῦς· ἐγὼ εἶμαι. καὶ ἱστέκετο μετ' αὐτοὺς καὶ ὁ Ἰούδας ὁπὰ τ' ἐπροδόδε.

6 Ὡσὰν τοὺς εἶπεν λοιπὸ ὅτι ἐγὼ εἶμαι, ἐσύρθηκαν ὁπίσω, καὶ ἔπεσαν κάτω.

7 Καὶ πάλιν τοὺς ἐμεζάνησε· τίνα ζητᾶτε; καὶ ὁμεῖνοι εἶπαν· τ' Ἰησοῦν τ' Ναζωραῖον.

8 Ὁ Ἰησοῦς τοὺς ἀπεκρήθη εἶπα

παν ὑμῖν ὅτι ἐγώ εἰμι. εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν.

9 Ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν· Ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα.

10 Σίμων οὖν Πέτρος ἔχων μάχαιραν, εἵλκυσεν αὐτήν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον, καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν. ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος.

11 Εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· Βάλε τὴν μάχαιράν σε εἰς τὴν θήκην. τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό;

12 Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτόν.

13 Καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου.

14 Ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ.

15 Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος, καὶ ὁ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν

εἶπά σας ὅτι ἐγώ εἰμι. ἐὰν οὖν ἐμὲ ζητᾶτε ἐμοῦ, ἀφίετε τούτους ὑπάγειν.

9 Διὰ νὰ πληρωθῇ ὁ λόγος τὸν ὁποῖον εἶπεν· ὅτι ἐκείνους ὁποὺ μοῦ ἔδωκες, δὲν ἔχασα ἀπ' αὐτοὺς κανένα.

10 Ὁ Σίμων Πέτρος λοιπὸν εἶχε σπαθί, καὶ τὸ ἔβγαλε, καὶ ἐκτύπησε τὸν δοῦλον τοῦ ἀρχιερέως, καὶ ἔκοψε τὸ αὐτί του τὸ δεξιόν· καὶ τὸ ὄνομα τοῦ δούλου ἦτον Μάλχος.

11 Ὁ Ἰησοῦς λοιπὸν εἶπε τοῦ Πέτρου· βάλε τὸ σπαθί σου εἰς τὸ θηκάρι. τὸ ποτήριον ὁποὺ μοῦ ἔδωκεν ὁ πατήρ μου, νὰ μὴν τὸ πίω;

12 Τὸ τάγμα λοιπὸν τὸ σπαθιστικὸν καὶ ὁ χιλίαρχος, καὶ οἱ δουλοτάδες τῶν Ἰουδαίων ἐπίασαν τὸν Ἰησοῦν, καὶ ἔδεσάν τον.

13 Καὶ τὸν ἐπῆγαν πρῶτον εἰς τὸν Ἄνναν· διότι ὁ Ἄννας ἦτον πενθερὸς τοῦ Καϊάφα· καὶ ὁ Ἄννας τὸν ἔστειλε δεμένον εἰς τὸν Καϊάφαν· ὁ ὁποῖος Καϊάφας ἦτον ἀρχιερεὺς τοῦ χρόνου ἐκείνου.

14 Καὶ ὁ Καϊάφας ἦτον ὁποὺ ἐσυμβούλευε τοὺς Ἰουδαίους, ὅτι συμφέρει ἕνας ἄνθρωπος νὰ χαλασθῇ διὰ τὸν λαόν.

15 Καὶ ὁ Σίμων Πέτρος, καὶ ὁ ἄλλος μαθητὴς ἀκολουθοῦσαν τὸν Ἰησοῦν. καὶ ὁ μα-

θη-

ἰῶ γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.

16 Ὁ δὲ Πέτρος εἰστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος ὃς ἰῶ γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον.

17 Λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· Μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; Λέγει ἐκεῖνος· Οὐκ εἰμί.

18 Εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.

19 Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ, καὶ περὶ τῆς διδαχῆς αὐτοῦ.

20 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν.

21 Τί με ἐπερωτᾷς; ἐπερώτησον

θητὴς ἐκεῖνος ἦν γνώριμος τοῦ ἀρχιερέως, καὶ εἰσῆλθε μετὰ τοῦ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως.

16 Ἀμὴν ὁ Πέτρος εἱστήκει πρὸς τὴν θύραν ἔξω εἰς τὴν θύραν. ἐξῆλθε λοιπὸν ὁ μαθητὴς ὁ ἄλλος, ὁ ἐποῦ ἦν γνώριμος τοῦ ἀρχιερέως, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον.

17 Λέγει λοιπὸν ἡ δούλη ἡ θυρωρὸς τῷ Πέτρῳ· μήτι καὶ σὺ ἐκ τῶν μαθητῶν τοῦ ἀνθρώπου τούτου εἶ; λέγει ἐκεῖνος· οὐκ εἰμί.

18 Καὶ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται εἱστήκεισαν καὶ ἀνθρακιὰν ἀνθρακοφωτιὰν, ὅτι ἦν κρύος καὶ ἐζεστάνοντο· καὶ ἐστάθη καὶ ὁ Πέτρος μετ' αὐτῶν καὶ ἐζεστάνετο.

19 Ὁ ἀρχιερεὺς λοιπὸν ἐρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητάδων τε, καὶ περὶ τοῦ διδαχοῦ τε.

20 Ὁ Ἰησοῦς τὰ ἀπεκρίθη· ἐγὼ παῤῥησίᾳ ἐλάλησα εἰς τὸν κόσμον· ἐγὼ πάντα ἐδίδαξα εἰς τὴν συναγωγὴν καὶ εἰς τὸ ἱερὸν, ὅπου πάντοτε μαζώνονται οἱ Ἰουδαῖοι καὶ κρυφᾷ πώποτε δὲν ἐλάλησα.

21 Τί με ἐρωτᾷς; ἐρώτησον

τησον τὺς ἀκηκοότας, τί ἐλά-
λησα αὐτοῖς· ἴδε, οὗτοι οἴδασιν
ἃ εἶπον ἐγώ.

22 Ταῦτα δὲ αὐτοῦ εἰπόντος,
εἷς τῶν ὑπηρετῶν παρεστηκὼς
ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ, εἰ-
πών· Οὕτως ἀποκρίνῃ τῷ ἀρ-
χιερεῖ;

23 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς·
Εἰ κακῶς ἐλάλησα, μαρτύρη-
σον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί
με δέρεις;

24 Ἀπέστειλεν οὖν αὐτὸν ὁ
Ἄννας δεδεμένον πρὸς Καϊά-
φαν τὸν ἀρχιερέα.

25 Ἦν δὲ Σίμων Πέτρος ἑ-
στὼς καὶ θερμαινόμενος. εἶπον
οὖν αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῶν
μαθητῶν αὐτοῦ εἶ; Ἠρνήσατο ἐ-
κεῖνος, καὶ εἶπεν· Οὐκ εἰμί.

26 Λέγει εἷς ἐκ τῶν δούλων
τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ
ἀπέκοψε Πέτρος τὸ ὠτίον·
Οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ
μετ' αὐτοῦ;

27 Πάλιν οὖν ἠρνήσατο ὁ
Πέτρος, καὶ εὐθέως ἀλέκτωρ
ἐφώνησεν.

28 Ἄγουσιν οὖν τὸν Ἰησοῦν
ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώ-
ριον. ἦν δὲ πρωΐα· καὶ αὐτοὶ
οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον,

ἐκείνους ὅπου μὲ ἄκουσαν, τί τὺς
ἐλάλησα· νὰ, ἐτοῦτοι ἐξεύρουσιν
ἐκεῖνα ὁπού εἶπα ἐγώ.

22 Καὶ ὡσὰν εἶπεν ἐτοῦτος,
ἕνας ἀπὸ τὺς ὑπηρέτας ὁπού ἐ-
παρασταίνοντον ἐκεῖ, τοῦ ἔκτυ-
πησε ῥάπισμα, καὶ εἶπεν· ἔτζι
ἀποκρίνεσαι εἰς τὸν ἀρχιερέα;

23 Ὁ Ἰησοῦς δὲ ἀπεκρίθη·
ἂν ἐσώτυχα κακά, μαρτύ-
ρησε διὰ τὸ κακόν· ἀμὴ ἂν
(ἐσώτυχα) καλά, τί μὲ
δέρνεις;

24 Ὁ Ἄννας λοιπὸν τὸν
ἔστειλε δεμένον εἰς τὸν Καϊάφαν
τὸν ἀρχιερέα.

25 Καὶ ὁ Σίμων Πέτρος ε-
στέκετον καὶ ἐζεστένωντον. καὶ
λέγωντες· μῶα εἶσαι καὶ ἐ-
σὺ ἀπὸ τὺς μαθητάδες τε; καὶ
ἐκεῖνος ἀρνήθη, καὶ εἶπε· δὲν
εἶμαι.

26 Λέγει ἕνας ἀπὸ τὺς δε-
λαὐτάδες τοῦ ἀρχιερέως, ὁ ὁποῖ-
ος ἦθον συγγενὴς ἐκείνου ὁπού
ἔκοψεν ὁ Πέτρος τὸ αὐτί τε·
δὲν σε εἶδα ἐγὼ εἰς τὸ κῆπον μὲ
αὐτόν;

27 Πάλιν λοιπὸν ἀρνήθηκεν
ὁ Πέτρος· καὶ παρευθὺς ὁ πε-
τεινὸς ἐλάλησε.

28 Φέρνουσι λοιπὸν τὸν Ἰη-
σοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ
πραιτώριον. καὶ ἦτον ἐχυί· καὶ
αὐτοὶ δὲν ἐμπῆκαν μέσα εἰς τὸ
πραιτώριον, διὰ νὰ μὴ μιαν-

θῶ-

ον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

29 Ἐξῆλθεν οὖν ὁ Πιλάτος πρὸς αὐτοὺς, καὶ εἶπε· Τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου;

30 Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· Εἰ μὴ ἦν οὗτος κακοποιὸς, οὐκ ἂν σοι παρεδώκαμεν αὐτόν.

31 Εἶπεν οὖν αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα.

32 Ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ, ὃν εἶπε, σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν.

33 Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλάτος, καὶ ἐφώνησε τὸν Ἰησοῦν, καὶ εἶπεν αὐτῷ· Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;

34 Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· Ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις, ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ;

35 Ἀπεκρίθη ὁ Πιλάτος· Μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας;

36 Ἀπεκρίθη ὁ Ἰησοῦς· Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίζοντο ἂν, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.

37 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεύς εἶ σὺ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις ὅτι βασιλεύς εἰμι. Ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. Πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς.

38 Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια; Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

39 Ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα· βούλεσθε οὖν ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων;

40 Ἐκραύγασαν οὖν πάλιν πάντες λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν. Ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

Cap. 19.

1 Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσε.

2 Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν,

3 καὶ ἔλεγον· Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα.

4 Καὶ ἐξῆλθε πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

5 Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ λέγει αὐτοῖς ὁ Πιλάτος· Ἴδε ὁ ἄνθρωπος.

6 Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες· Σταύρωσον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

7 Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ὀφείλει ἀποθανεῖν, ὅτι υἱὸν Θεοῦ ἑαυτὸν ἐποίησε.

8 Ὅτε οὖν ἤκουσε τοῦτον τὸν λόγον ὁ Πιλάτος, μᾶλλον ἐφοβήθη·

9 καὶ εἰσῆλθε πάλιν εἰς τὸ πραιτώριον, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.

10 Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε;

11 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν· διὰ τοῦτο ὁ παραδούς με σοὶ μείζονα ἁμαρτίαν ἔχει.

12 Ἐκ τούτου ὁ Πιλάτος ἐζήτει ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος· πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ Καίσαρι.

13 Ὁ οὖν Πιλάτος ἀκούσας τοὺς λόγους τούτους ἤγαγε ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ.

14 Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα ἦν ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν.

15 Οἱ δὲ ἔκραζον· Ἆρον, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

16 Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀπήγαγον.

17 Καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ Γολγοθᾶ·

18 ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν.

19 Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον· Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων.

20 Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστὶ, Ῥωμαϊστὶ, Ἑλληνιστί.

21 Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπεν· Βασιλεύς εἰμι τῶν Ἰουδαίων.

22 Ἀπεκρίθη ὁ Πιλάτος· Ὃ γέγραφα, γέγραφα.

23 Οἱ οὖν στρατιῶται ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος· καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου.

24 Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Καὶ οἱ μὲν στρατιῶται ταῦτα ἐποίησαν.

25 Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.

26 Ὁ οὖν Ἰησοῦς ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· Γύναι, ἴδε ὁ υἱός σου.

27 Εἶτα λέγει τῷ μαθητῇ· Ἴδε ἡ μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια.

28 Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι ἤδη πάντα τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφὴ, λέγει· Διψῶ.

29 Σκεῦος ἔκειτο ὄξους μεστόν· σπόγγον οὖν μεστὸν τοῦ ὄξους ὑσσῷ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι.

30 Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα.

31 Οἱ οὖν Ἰουδαῖοι, ἐπεὶ παρασκευὴ ἦν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα τῷ σαββάτῳ, ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου, ἠρώτησαν τὸν Πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη καὶ ἀρθῶσι.

32 Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξε τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ·

33 ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη·

34 ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ ἐξῆλθεν εὐθὺς αἷμα καὶ ὕδωρ.

35 Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστὶν ἡ μαρτυρία· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε.

36 Ἐγένετο γὰρ ταῦτα ἵνα ἡ γραφὴ πληρωθῇ· Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ.

37 Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· Ὄψονται εἰς ὃν ἐξεκέντησαν.

38 Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος. Ἦλθε οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ.

39 Ἦλθε δὲ καὶ Νικόδημος, ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτὸς τὸ πρῶτον, φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν.

40 Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν.

41 Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἦν τεθειμένος.

42 Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

Cap. 20.

1 Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.

2 Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· Ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν.

3 Ἐξῆλθε οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.

4 Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ· καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον·

5 καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια· οὐ μέντοι εἰσῆλθεν.

6 Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα,

7 καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον.

8 Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπίστευσε·

9 οὐδέπω γὰρ ἤδεισαν τὴν γραφὴν ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.

10 Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

11 Μαρία δὲ εἱστήκει πρὸς τῷ μνημείῳ κλαίουσα ἔξω· ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον,

12 καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσὶ, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.

13 Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.

14 Ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι Ἰησοῦς ἐστιν.

15 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγὼ αὐτὸν ἀρῶ.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη λέγει αὐτῷ· Ῥαββουνί, ὃ λέγεται Διδάσκαλε.

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν.

18 Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀγγέλλουσα τοῖς μαθηταῖς ὅτι ἑώρακε τὸν κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

19 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

20 Καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν κύριον.

21 Εἶπεν οὖν αὐτοῖς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς.

22 Καὶ τοῦτο εἰπὼν ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε πνεῦμα ἅγιον.

23 Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφέωνται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται.

24 Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς.

25 Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

26 Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν. Ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπε· Εἰρήνη ὑμῖν.

27 Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖρές μου· καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

28 Ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· Ὁ κύριός μου καὶ ὁ θεός μου.

29 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ·

31 ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Cap. 21.

1 Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως.

2 Ἦσαν ὁμοῦ Σίμων Πέτρος καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανὰ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

3 Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον καὶ ἐνέβησαν εἰς τὸ πλοῖον εὐθύς· καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

4 Πρωΐας δὲ ἤδη γενομένης, ἔστη Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ἤδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστιν.

5 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· Οὔ.

6 Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυον ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

7 Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ· Ὁ κύριός ἐστιν. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ κύριός ἐστιν, τὸν ἐπενδύτην διεζώσατο, ἦν γὰρ γυμνός, καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν.

8 Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων, σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

9 Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσι ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον.

10 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν.

11 Ἀνέβη οὖν Σίμων Πέτρος καὶ εἵλκυσε τὸ δίκτυον εἰς τὴν γῆν, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον.

12 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦτε ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν· Σὺ τίς εἶ; εἰδότες ὅτι ὁ κύριός ἐστιν.

13 Ἔρχεται Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.

14 Τοῦτο ἤδη τρίτον ἐφανερώθη Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

15 Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλέον τούτων; Λέγει αὐτῷ· Ναὶ, κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου.

16 Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναὶ, κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου.

17 Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον· Φιλεῖς με; καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας· σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ πρόβατά μου.

18 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει καὶ οἴσει ὅπου οὐ θέλεις.

19 Τοῦτο δὲ εἶπε σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ· Ἀκολούθει μοι.

20 Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;

21 Τοῦτον οὖν ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Σὺ ἀκολούθει μοι.

23 Ἐξῆλθε οὖν οὗτος ὁ λόγος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· οὐκ εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει, ἀλλ' Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ;

24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθὴς αὐτοῦ ἡ μαρτυρία ἐστίν.

25 Ἔστι δὲ καὶ ἄλλα πολλὰ ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρήσειν τὰ γραφόμενα βιβλία. Ἀμήν.

τότε ἰῶ ἡ βασιλεία ἡ ἐμὴ, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.

37 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεύς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ· ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

38 Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια; Καὶ τοῦτο εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.

39 Ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων;

40 Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστι τοῦ κόσμου τούτου, εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία μου, οἱ ὑπηρέται μου ἠγωνίζοντο ἂν ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν.

37 Εἶπεν οὖν αὐτῷ ὁ Πιλάτος· Οὐκοῦν βασιλεύς εἶ σύ; Ἀπεκρίθη ὁ Ἰησοῦς· Σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ· ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας, ἀκούει μου τῆς φωνῆς.

38 Λέγει αὐτῷ ὁ Πιλάτος· Τί ἐστιν ἀλήθεια; Καὶ τοῦτο εἰπὼν, πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους, καὶ λέγει αὐτοῖς· Ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ.

39 Ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων;

40 Ἐκραύγασαν οὖν πάλιν πάντες, λέγοντες· Μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν· ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

Κεφ. ιθ'. 19.

Τότε οὖν ἔλαβεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ ἐμαστίγωσε.

2 Καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέ-

Τότε λοιπὸν ἐπῆρεν ὁ Πιλάτος τὸν Ἰησοῦν, καὶ τὸν ἔδειρε.

2 Καὶ οἱ στρατιῶται ἔπλεξαν στέφανον ἀπὸ ἀγκάθια,

καὶ

θηκαν αὐτῷ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτόν.

3 Καὶ ἔλεγον· Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα.

4 Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς· Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι οὐ αὐτῷ αἰτίαν εὑρίσκω.

5 Ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, φορῶν τὸν ἀκάνθινον στέφανον, καὶ τὸ πορφυροῦν ἱμάτιον. Καὶ λέγει αὐτοῖς· Ἴδε ὁ ἄνθρωπος.

6 Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν, λέγοντες· Σταύρωσον, σταύρωσον. Λέγει αὐτοῖς ὁ Πιλάτος· Λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν.

7 Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν τοῦ Θεοῦ ἐποίησεν.

8 Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη.

9 Καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· Πόθεν εἶ σύ; Ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.

10 Λέ-

καὶ τὴν ἔβαλαν εἰς τὸ κεφάλι του καὶ τὸν ἔντυσαν ἕνα φόρεμα κόκκινο.

3 Καὶ ἔλεγαν· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων, καὶ τὸ ἔδερναν.

4 Εὐγῆκε πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει τους· νά, ὁπὸ σᾶς τὸν φέρνω ἔξω, διὰ νὰ γνωρίστετε, ὅτι εἰς αὐτὸν δὲν εὑρίσκω ἀφορμὴν καμίαν αἰτίαν.

5 Καὶ ὁ Ἰησοῦς εὐγῆκεν ἔξω, καὶ ἐφόρει τὸ ἀγκαθένιο στεφάνι, καὶ τὸ φόρεμα τὸ κόκκινον. καὶ λέγει τους ὁ Πιλάτος· νά ὁ ἄνθρωπος.

6 Καὶ ὡσὰν τὸν εἶδαν λοιπὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐφώναξαν, καὶ εἶπαν· σταύρωσον, σταύρωσον αὐτόν. λέγει τους ὁ Πιλάτος· ἐπάρετε τον ἐσεῖς, καὶ σταυρώστε τον· διατὶ ἐγὼ καμίαν ἀφορμὴν δὲν εὑρίσκω εἰς αὐτόν.

7 Οἱ Ἰουδαῖοι τοῦ ἀπεκρίθηκαν· ἐμεῖς ἔχομεν νόμον, καὶ κατὰ τὸν νόμον μας χρεωστεῖ νὰ ἀποθάνῃ, ὅτι ἔκαμε τὸν ἑαυτόν του υἱὸν τοῦ Θεοῦ.

8 Ὅταν λοιπὸν ἄκουσε ὁ Πιλάτος ἐτοῦτον τὸν λόγον, περισσότερον ἐφοβήθηκε.

9 Καὶ ἐμβῆκε πάλιν εἰς τὸ πραιτώριον, καὶ λέγει τοῦ Ἰησοῦ· ἀπὸ πᾶ εἶσαι ἐσύ; καὶ ὁ Ἰησοῦς δὲν τοῦ ἀπεκρίθη.

10 Λέ-

10 Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε;

11 Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὐκ εἶχες ἐξουσίαν κατ' ἐμοῦ οὐδεμίαν, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς με σοὶ μείζονα ἁμαρτίαν ἔχει.

12 Ἐκ τούτου ἐζήτει ὁ Πιλάτος ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἐκραύγαζον, λέγοντες· Ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι.

13 Ὁ οὖν Πιλάτος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος, εἰς τόπον λεγόμενον Λιθόστρωτον, Ἑβραϊστὶ δὲ Γαββαθᾶ.

14 Ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· Ἴδε ὁ βασιλεὺς ὑμῶν.

15 Οἱ δὲ ἐκραύγασαν· ἆρον, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος· Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· Οὐκ

10 Λέγει τε ὁ Πιλάτος· μετεμοί κε δὲν λαλεῖς; δὲν ἐξεύρεις ὅτι ἔχω ἐξουσίαν νὰ σε σταυρώσω, καὶ ἔχω ἐξουσίαν νὰ σὲ ἀπολύσω;

11 Ὁ Ἰησοῦς ἀπεκρίθη· δὲν ἤθελες ἔχη ἐναντία μου, ἂν δὲν σοῦ ἦτον δεδομένον ἀπὸ πάνω· διὰ τοῦτο ὁποῦ μὲ ἐπαραδώκασε εἰς ἐσένα, ἔχει μεγαλίτερον ἁμαρτίαν.

12 Ἀπὸ τοῦτο τὴν ὥραν ἐζήτα ὁ Πιλάτος νὰ τὸν ἀπολύσῃ· ἀμὴ οἱ Ἰουδαῖοι ἐκραύγαζαν, καὶ ἔλεγαν· ἂν ἀπολύσῃς ἐτοῦτον, δὲν εἶσαι φίλος τοῦ Καίσαρος. κάθε ἄνθρωπος ὁποῦ κάμνει τὸν βασιλέα, ἐναντιεύεται τὸν Καίσαρα.

13 Ὁ Πιλάτος λοιπὸν ὡσὰν ἄκουσεν ἐτοῦτα τὰ λόγια, ἐβγαλεν ἔξω τὸν Ἰησοῦν, καὶ αὐτὸς ἐκάθισεν εἰς τὸ κριτήριον, εἰς ἕνα τόπον ὁποῦ λέγεται λιθόστρωτον, καὶ Ἑβραϊκὰ Γαββαθᾶ.

14 Καὶ ἦτον ἡ παρασκευὴ τοῦ πάσχα, κοντὰ ἕκτη ὥρα· καὶ λέγει εἰς τοὺς Ἰουδαίους· νά ὁ βασιλεύς σας.

15 Καὶ ἐκεῖνοι ἐφώναξαν· σήκωσε, σήκωσε, σταύρωσέ τον. λέγει τους ὁ Πιλάτος· τὸν βασιλέα σας νὰ σταύρωσω; ἀπεκρίθηκαν οἱ ἀρχιερεῖς καὶ εἶπαν· ἐμεῖς

Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα.

16 Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ. παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἀπήγαγον.

17 Καὶ βαστάζων τὸν σταυρὸν αὐτῷ ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑβραϊστὶ Γολγοθᾶ.

18 Ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν.

19 Ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ. ἦν δὲ γεγραμμένον· ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

20 Τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων· ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον Ἑβραϊστί, Ἑλληνιστί, Ρωμαϊστί.

21 Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· Μὴ γράφε· Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· Βασιλεύς εἰμι τῶν Ἰουδαίων.

22 Ἀπεκρίθη ὁ Πιλάτος·

ἐμεῖς δὲν ἔχομεν βασιλέα παρὰ τὸν Καίσαρα.

16 Τότε λοιπὸν τὸν τὸν παρέδωκεν διὰ νὰ σταυρωθῇ. Καὶ ἐπῆραν τὸν Ἰησοῦν καὶ τὸν ἐπῆγαν.

17 Καὶ ἐβάστασε τὸν σταυρὸν καὶ ἐβγῆκεν ἔξω εἰς τὸν τόπον ὁποῦ ἐλέγετον τόπον κρανίου ὁποῦ λέγεται Ἑβραϊκὰ Γολγοθᾶ.

18 Ἐκεῖ ὁπου τὸν ἐσταύρωσαν, καὶ μετ' αὐτὸν ἄλλους δύο �ένα ἀπὸ τὴν μίαν μεριάν, καὶ ἄλλον ἀπὸ τὴν ἄλλην, καὶ τὸν μέσον τὸν Ἰησοῦν.

19 Καὶ ὁ Πιλάτος ἔγραψε καὶ ἀπάνω γραφὴν, καὶ ἔβαλεν ἀπάνω εἰς τὸν σταυρὸν καὶ ἦτον γραμμένον· ΙΗΣΟΥΣ Ο ΝΑΖΩΡΑΙΟΣ Ο ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ.

20 Ἐτοῦτο τὴν ἀπάνω γραφὴν πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους τὴν ἀνάγνωσαν· διατὶ ἦτον κοντὰ εἰς τὴν πόλιν ὁ τόπος ὁποῦ ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦτον γραμμένον Ἑβραϊκὰ, Ἑλληνικὰ, καὶ Λατινικά.

21 Καὶ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων ἔλεγαν εἰς τὸν Πιλάτον· μὴ γράφεις· ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι ἐκεῖνος εἶπε· βασιλεὺς εἶμαι τῶν Ἰουδαίων.

22 Ἀπεκρίθη ὁ Πιλάτος

Ο᾽ γέγραφα, γέγραφα.

23 Οἱ οὖν στρατῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ, (καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος) καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι᾽ ὅλου.

24 Εἶπον οὖν πρὸς ἀλλήλους· Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν.

25 Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, ⸂καὶ⸃ Μαρία ἡ Μαγδαληνή.

26 Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα, καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· Γύναι, ἴδε ὁ υἱός σου.

27 Εἶτα λέγει τῷ μαθητῇ· Ἴδε ἡ μήτηρ σου. Καὶ ἀπ᾽ ἐκείνης τῆς ὥρας ἔλαβεν αὐτὴν ὁ μαθητὴς εἰς τὰ ἴδια.

28 Μετὰ

ἐκεῖνο ὅπου ἔγραψε, ἔγραψα.

23 Ὅταν λοιπὸν ἐσταύρωσαν οἱ στρατιῶται τὸν Ἰησοῦν, ἐπῆραν τὰ φορέματά του, (καὶ ἔκαμαν τὰ τέσσαρα μερτικά, κάθε ἕνος στρατιώτης τὸ μερτικόν του) καὶ τὸ χιτῶνα· καὶ ὁ χιτὼν ἦτον ἄρραφος, ἀπὸ πάνω ἕως κάτω ὅλος.

24 Εἶπαν λοιπὸν ἀναμεσό τους· ἂς μὴν τὸ σχίσωμεν, ἀλλὰ ἂς ῥίξωμεν λαχνὸν δι᾽ αὐτόν, πίνος θέλει εἶσθαι. διὰ νὰ πληρωθῇ ἡ γραφὴ ὁπού λέγει· ἐμοίρασαν τὰ φορέματά μου ἀναμεσό τους, καὶ εἰς τὴν φορεσίαν μου ἔῤῥιξαν λαχνόν. οἱ στρατιῶται λοιπὸν ἐκάμασιν ἐτοῦτα.

25 Καὶ ἐστέκουνταν κοντὰ εἰς τὸν σταυρὸν τοῦ Ἰησοῦ ἡ μητέρα του καὶ ἡ ἀδελφὴ τῆς μητέρας του, Μαρία ἡ γυναῖκα τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή.

26 Ὅσὰν εἶδε λοιπὸν ὁ Ἰησοῦς τὴν μητέρα του, καὶ τὸν μαθητὴν ὁπού ἀγάπα ὁπού ἐστέκουνταν σιμά, λέγει εἰς τὴν μητέρα του· ὦ γύναι, νά ὁ υἱός σου.

27 Ἀπέκει λέγει εἰς τὸν μαθητήν· νά ἡ μητέρα σου. καὶ ἀπ᾽ ἐκείνην τὴν ὥραν τὴν ἐπῆρεν ὁ μαθητὴς ἐκεῖνο εἰς τὸ σπήτι του.

28 Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει· Διψῶ.

29 Σκεῦος ἔκειτο ὄξους μεστόν. οἱ δὲ, πλήσαντες σπόγγον ὄξους, καὶ ὑσσώπῳ περιθέντες, προσήνεγκαν αὐτοῦ τῷ στόματι.

30 Ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς, εἶπε· Τετέλεσται· καὶ κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα.

31 Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν, (ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνη τοῦ σαββάτου) ἠρώτησαν τὸν Πιλάτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν.

32 Ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ.

33 Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη·

34 Ἀλλ' εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθὺς ἐξῆλθεν αἷμα καὶ ὕδωρ.

35 Καὶ

28 Καὶ ὑστερον ἀπὸ τοῦτο, ὡσὰν εἰδεν ὁ Ἰησοῦς ὅτι ὡραμεν πάντα ἐτελειώθηκαν, διὰ νὰ πληρωθῇ ἡ γραφὴ, λέγει· διψῶ.

29 Λοιπὸν ἐκειτετον σκεῦος ἀγγειον γεμᾶτον ὀξύδι. καὶ ἐκπονοι γεμίζοντες τὸ σφουγγέλι ὀξύδι, καὶ ἐμπηγοντές το εἰς τὸ καλάμι, τὸ ἔβαλαν εἰς το στομα του.

30 Ὅταν λοιπὸν ἐπῆρε το ὀξύδι ὁ Ἰησοῦς, εἶπεν· ἐτελεώθη· καὶ σκύπτωντας το κεφάλι του, ἐπαραδόωκε το πνεῦμα.

31 Καὶ οἱ Ἰουδαῖοι, διὰ νὰ μὴν μείνουσι τὰ κορμία σταυρωμένα εἰς τὸν σαββατον τὸ σάββαθον, ἐπειδὴ ἦτον παρασκευὴ, (καὶ ἡ ἡμέρα τοῦ σαββάτου ἐκείνη ἦτον μεγάλη) ἐπαρακάλεσαν τὸν Πιλάτον, διὰ νὰ τζακίσουν τὰ σκέλιά τους, καὶ νὰ τὰς σηκώσουν ἀπ' κεῖ.

32 Ἦλθαν λοιπὸν οἱ στρατιῶται, καὶ τοῦ πρώτου ἐτζάκισαν τὰ σκέλιά του, καὶ τοῦ ἄλλου ὁπού ἐσταυρώθη μαζὺ μετ' αὐτόν.

33 Καὶ ἐφθασαν νὰ ἔλθουν εἰς τὸν Ἰησοῦν, ὡσὰν εἶδαν ὅτι ἦτον ἀποθαμμένος, δὲν ἐτζάκισαν τὰ σκέλιά του.

34 Ἀλλὰ ἕνας ἀπὸ τοὺς στρατιώτους ἐκέντησε τὴν πλευρά του μὲ λόγχη, καὶ παρευθὺς ἐβγῆκεν αἷμα καὶ νερό.

35 Καὶ

35 Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία· κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ὑμεῖς πιστεύσητε.

36 Ἐγένετο γὰρ ταῦτα ἵνα ἡ γραφὴ πληρωθῇ· Ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ.

37 Καὶ πάλιν ἑτέρα γραφὴ λέγει· Ὄψονται εἰς ὃν ἐξεκέντησαν.

38 Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλάτον ὁ Ἰωσὴφ ὁ ἀπὸ Ἁριμαθαίας, (ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων) ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλάτος. ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ.

39 Ἦλθε δὲ καὶ Νικόδημος (ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον) φέρων μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν.

40 Ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν.

41 Ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη.

42 Ἐ-

35 Καὶ ἐκεῖνος ὅτι τὸ εἶδε μεμαρτύρηκε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ· καὶ ἐκεῖνος τὸ ἀληθὲς λέγει ὅτι ἀληθῆ λέγει, ἵνα καὶ πιστεύσητε ἐσεῖς.

36 Διατὶ ἔτσι ἔγιναν διὰ νὰ πληρωθῇ ἡ γραφὴ ὅπου λέγει· κόκκαλον δὲν θέλει τσακισθῇ ἀπ' αὐτόν.

37 Καὶ πάλιν ἄλλη γραφὴ λέγει· θέλουν ἰδῇ εἰς ἐκεῖνον ὅπου ἐκέντησαν.

38 Καὶ ὕστερον ἀπὸ τοῦτα ὁ Ἰωσὴφ ὅπου ἦτον ἀπὸ τὴν Ἁριμαθαίαν, ὁ ὁποῖος ἦτον μαθητὴς τοῦ Ἰησοῦ, ἀλλὰ ἦτον κρυμμένος διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἐζήτησεν ἀπὸ τὸν Πιλάτον, νὰ σηκώσῃ τὸ κορμὶ τοῦ Ἰησοῦ· καὶ ὁ Πιλάτος τοῦ ἔδωσεν ἄδειαν. ἐπῆγε λοιπὸν καὶ ἐσήκωσε τὸ κορμὶ τοῦ Ἰησοῦ.

39 Καὶ ἦλθε καὶ ὁ Νικόδημος, ὁ ὁποῖος ἦλθε τὸ πρῶτον εἰς τὸν Ἰησοῦν νυκτός, καὶ ἔφερεν ἕνα μίγμα, σμύρνα καὶ ἀλόη ἕως ἑκατὸν λίτρας.

40 Ἐπῆραν λοιπὸν τὸ κορμὶ τοῦ Ἰησοῦ, καὶ ἔδεσάν το μὲ σενδόνια μαζύ μὲ τὰ μυρίσματα, καθὼς εἶναι συνήθεια εἰς τοὺς Ἰουδαίους.

41 Καὶ ἐκεῖ εἰς τὸν τόπον ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς ἦτον κῆπος, καὶ μέσα εἰς τὸν κῆπον ἦτον ἕνα μνῆμα καινούργιον, εἰς τὸ ὁποῖον ἀκόμι κανένας δὲν

42 Ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

42 Ἐκεῖ λοιπὸν ἔβαλαν τὸν Ἰησοῦν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων· ἀφοῦ ἦτον τὸ μνῆμα κοντά.

Κεφ. κ'. 20.

Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.

Καὶ τὴν μιὰν τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ τὴν αὐγήν, ὁποῦ ἦτον ἀκόμι σκοτεινή, εἰς τὸ μνῆμα· καὶ βλέπει τὴν πέτραν σηκωμένην ἀπὸ τὸ μνῆμα.

2 Τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς· καὶ λέγει αὐτοῖς· Ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν.

2 Τρέχει λοιπὸν καὶ ἔρχεται πρὸς τὸν Σίμωνα τὸν Πέτρον, καὶ τὸν ἄλλον μαθητήν, ὁποῦ ἀγάπαν ὁ Ἰησοῦς, καὶ λέγει τους· ἐπήκωσαν τὸν Κύριον ἀπὸ τὸ μνῆμα, καὶ δὲν ἐξεύρομεν ποῦ τὸν ἔβαλαν.

3 Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.

3 Εὐγῆκε λοιπὸν ἔξω ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχενταν εἰς τὸ μνῆμα.

4 Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ, καὶ ὁ ἄλλος μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον.

4 Καὶ ἔτρεχαν οἱ δύο μαζύ, ἀμὴ ὁ ἄλλος μαθητὴς ἐπροέβαμε γληγορώτερα ἀπὸ τὸν Πέτρον, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον.

5 Καὶ παρακύψας βλέπει κείμενα τὰ ὀθόνια· οὐ μέντοι εἰσῆλθεν.

5 Καὶ σκύπτωντας βλέπει ὁποῦ κεῖτενταν τὰ σενδόνια· ὅμως δὲν ἐμπῆκε (μέσα).

6 Ἔρχεται οὖν καὶ Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα,

6 Ἔρχεται λοιπὸν ὁ Σίμων Πέτρος ἀκολουθῶντάς τον, καὶ ἐμπῆκεν μέσα εἰς τὸ μνημεῖον, καὶ βλέπει τὰ σενδόνια ὁποῦ κεῖτενταν,

7 καὶ τὸ σουδάριον ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων

7 καὶ τὸ μανδύλι, τὸ ὁποῖον ἦτον ἀπάνω εἰς τὸ κεφάλι του,

νίων κείμενον, ἀλλὰ χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον.

8 Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν·

9 Οὐδέπω γὰρ ἤδεισαν τὴν γραφήν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι.

10 Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ μαθηταί.

11 Μαρία δὲ εἰστήκει πρὸς τῷ μνημείῳ κλαίουσα ἔξω· ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον·

12 Καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, �ένα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ.

13 Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.

14 Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι.

15 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη, δοκοῦσα ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ αὐ-

ὄχι μὲ τὰ σινδόνια κείμενον, ἀλλὰ χωρὶς τυλιγμένον εἰς ἕνα τόπον.

8 Τότε λοιπὸν ἐμβῆκε μέσα καὶ ὁ ἄλλος μαθητὴς, ὁποῦ ἦλθε πρῶτος εἰς τὸ μνῆμα, καὶ εἶδε, καὶ ἐπίστευσε.

9 Διατὶ ἀκόμι δὲν ἐξεύρανε τὴν γραφήν, ὅτι κάμνει χρεία αὐτὸς νὰ ἀνασταθῇ ἀπὸ νεκρῶν.

10 Ἐγύρισαν πάλιν οἱ μαθηταῖς εἰς τὰς ἰδικάς τους.

11 Καὶ ἡ Μαρία ἐστέκνταν ἔξω εἰς τὸ μνῆμα, καὶ ἔκλαιεν· ὡσὰν ἔκλαιε λοιπὸν, ἐπιρράσκυψεν εἰς τὸ μνῆμα·

12 Καὶ βλέπει δύο ἀγγέλους ὁποῦ ἐκάθηνταν μὲ ἀσπρα φορέματα, ἕνα εἰς τὴν κεφαλήν, καὶ ἕνα εἰς τὰ ποδάρια, ὁπού ἐποὺ ἐκείτενταν τὸ κορμὶ τοῦ Ἰησοῦ.

13 Καὶ λέγνν τὴς ἐκεῖνοι· Ὦ γυναῖκα, τί κλαίεις; λέγει τους· Ὅτι ἐσήκωσαν τὸν αὐθέντην μου, καὶ δὲν ἐξεύρω ποῦ τὸν ἔβαλαν.

14 Καὶ ὡσὰν εἶπεν ἐτοῦτα, ἐγύρισεν ὀπίσω, καὶ βλέπει τὸν Ἰησοῦν ὁποῦ ἔστεκε· καὶ δὲν ἐξεύρεν ὅτι εἶναι ὁ Ἰησοῦς.

15 Λέγει της ὁ Ἰησοῦς· Ὦ γυναῖκα, διατὶ κλαίεις; τίνα ζητᾶς; ἐκείνη, λογιάζοντας ὅτι εἶναι ὁ φερτολάρης, τοῦ λέγει· αὐθέντη, ἐὰν ἐσὺ τὸν ἐπῆρες,

αὐτὸν ἐθηκας, καγὼ αὐτὸν ἀρῶ.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη λέγει αὐτῷ· Ῥαββουνί, ὃ λέγεται, διδάσκαλε.

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν.

18 Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ, ἀπαγγέλλουσα τοῖς μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

19 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

20 Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

21 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς.

22 Καὶ τοῦτο εἰπὼν, ἐνε-

εἰπέ μοι ποῦ τὸν ἔθηκας· κἀγὼ αὐτὸν ἀρῶ.

16 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη λέγει αὐτῷ· Ῥαββουνί· ὃ ὅπερ λέγεται, διδάσκαλε.

17 Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα εἰς τὸν πατέρα μου· ἀλλὰ πορεύου εἰς τοὺς ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω εἰς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ θεόν μου καὶ θεὸν ὑμῶν.

18 Ἦλθεν ἡ Μαρία ἡ Μαγδαληνὴ, ἀγγέλλουσα τοῖς μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

19 Οὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

20 Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

21 Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέ με ὁ πατὴρ, κἀγὼ πέμπω ὑμᾶς.

22 Καὶ τοῦτο εἰπὼν, ἐνε-

18 Ἦλθεν ἡ Μαρία ἡ Μαγδαληνὴ, καὶ εἶπεν ἐτοῖς μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

19 Ὥσαν ἑσπέρας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

20 Καὶ ὡσὰν εἶπεν τοῦτο τὸν λόγον, τοῖς ἔδειξε τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Καὶ οἱ μαθηταὶ ἐχάρησαν ὡσὰν εἶδαν τὸν Κύριον.

21 Καὶ ὁ Ἰησοῦς πάλιν τοῖς εἶπεν· εἰρήνη ὑμῖν· καθὼς μὲ ἔστειλεν ὁ πατὴρ, καὶ ἐγὼ πέμπω ὑμᾶς.

22 Καὶ ὡσὰν εἶπεν τοῦτο, ἐνεφύ-

φύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε πνεῦμα ἅγιον.

23 Ἂν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἂν τινων κρατῆτε, κεκράτηνται.

24 Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς.

25 Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

26 Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν.

27 Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

28 Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου.

29 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με, Θωμᾶ, πεπίστευκας;

ἐνεφύσησεν εἰς αὐτοὺς, καὶ εἶπε· λάβετε Πνεῦμα ἅγιον.

23 Καὶ ὅποιων ἁμαρτίας συγχωρήσετε, εἶναι συγχωρημέναις· καὶ ὅποιων κρατήτε, εἶναι κρατημέναις.

24 Καὶ ὁ Θωμᾶς, ὁ λεγόμενος Δίδυμος, ἕνας ἀπὸ τοὺς δώδεκα, δὲν ἦτον ἐκεῖ μετ' αὐτοὺς, ὅταν ἦλθεν ὁ Ἰησοῦς.

25 Ἔλεγάν τον λοιπὸν οἱ ἄλλοι μαθηταὶ· εἴδαμεν τὸν Κύριον. Καὶ ἐκεῖνος τοὺς εἶπεν· ἂν δὲν ἰδῶ εἰς τὰ χέρια του τὰ σημάδια τῶν καρφίων, καὶ ἂν δὲν βάλω τὸν δάκτυλόν μου εἰς τὰ σημάδια τῶν καρφίων, καὶ ἂν δὲν βάλω τὸ χέρι μου εἰς τὴν πλευράν του, δὲν θέλω πιστεύσει.

26 Καὶ ὕστερα ἀπὸ ὀκτὼ ἡμέραις, πάλιν ἦταν οἱ μαθηταὶ μέσα, καὶ ὁ Θωμᾶς μετ' αὐτούς. Καὶ ἦλθε ὁ Ἰησοῦς ὄντες αἱ θύραις σφαλισμέναις, καὶ ἐστάθη εἰς τὸ μέσον, καὶ εἶπε· εἰρήνη εἰς ἐσᾶς.

27 Ἀπὲιτα λέγει εἰς τὸν Θωμᾶν· Φέρε τὸν δάκτυλόν σου ἐδῶ, καὶ ἰδὲ τὰ χέρια μου· καὶ φέρε τὸ χέρι σου, καὶ βάλε το εἰς τὴν πλευράν μου· καὶ μὴν γίνεσαι ἄπιστος, ἀλλὰ πιστός.

28 Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπέν του· ὁ Κύριός μου, καὶ ὁ Θεός μου.

29 Λέγει του ὁ Ἰησοῦς· Ἀφοῦ μὲ εἶδες, Θωμᾶ, ἐπίστευσες;

πίστευκας· μακάριοι, οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.

30 Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ.

31 Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

σες· καλότυχοι εἶναι ἐκεῖνοι ὁποῦ δὲν εἶδαν, καὶ ἐπίστευσαν.

30 Καὶ ἄλλα πολλὰ σημεῖα λοιπὸν ἔκαμεν ὁ Ἰησοῦς ὁμπρὸς εἰς τοὺς μαθητάδες του, τὰ ὁποῖα δὲν εἶναι γραμμένα εἰς τὸ βιβλίον ἐτοῦτο.

31 Καὶ ἐτοῦτα ἐγράφηκαν, διὰ νὰ πιστεύσετε, ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ διὰ νὰ ἔχετε ζωὴν αἰώνιον πιστεύοντες εἰς τὸ ὄνομά του.

Κεφ. κά'. 21.

Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος. ἐφανέρωσε δὲ οὕτως.

2 Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.

3 Λέγει αὐτοῖς Σίμων Πέτρος· Ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· Ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοι. Ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.

4 Πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ἠδέησαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι.

5 Λέ-

Καὶ ὕστερον ἀπὸ τοῦτο πάλιν ἐφανέρωσε τὸν λόγο του ὁ Ἰησοῦς εἰς τοὺς μαθητάδες του εἰς τὴν θάλασσαν τῆς Τιβεριάδος. καὶ ἐφανέρωσε τοιουτοτρόπως.

2 Ἦσαν μαζὺ ὁ Σίμων Πέτρος καὶ Θωμᾶς ὁποῦ ἐλέγετον Δίδυμος· καὶ Ναθαναὴλ ὁποῦ ἦτον ἀπὸ τὴν Κανᾶ τῆς Γαλιλαίας· καὶ οἱ δύο υἱοὶ τοῦ Ζεβεδαίου· καὶ ἄλλοι δύο ἀπὸ τοὺς μαθητάδες του.

3 Λέγει τους ὁ Σίμων Πέτρος· ἐγὼ πάγω νὰ ψαρεύω, λέγουν του οἱ ἄλλοι· ἐρχόμεθα καὶ ἐμεῖς μαζύ του. Βγῆκαν ἔξω καὶ ἐμβῆκαν εἰς τὸ μονόξυλον βύθος· καὶ ἐκείνην τὴν νύκτα δὲν ἐπιάσαν τίποτες.

4 Καὶ ὅταν ἐφεξε, ἐστάθη ὁ Ἰησοῦς εἰς τὸ παραγιάλι· ὅμως οἱ μαθητάδες δὲν ἤξεραν ὅτι εἶναι ὁ Ἰησοῦς.

5 Λέ-

5 Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· Παιδία, μή τι προσφάγιον ἔχετε; Ἀπεκρίθησαν αὐτῷ· Οὔ.

6 Ὁ δὲ εἶπεν αὐτοῖς· Βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυον ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.

7 Λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· Ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος, ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, (ἦν γὰρ γυμνός) καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν.

8 Οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον, (οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων) σύροντες τὸ δίκτυον τῶν ἰχθύων.

9 Ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην, καὶ ὀψάριον ἐπικείμενον, καὶ ἄρτον.

10 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν.

11 Ἀνέβη Σίμων Πέτρος, καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντηκοντατριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον.

12 Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Δεῦ-

5 Λέγει τους ὁ Ἰησοῦς· παιδία, μήπως ἔχετε τίποτες προσφάγι; ἀπεκρίθηκάν του· ὄχι.

6 Καὶ ὁ Ἰησοῦς τους εἶπε· ῥίξετε τὸ δίκτυον εἰς τὴν δεξιὰν μεριὰν τοῦ μονοξύλου, καὶ θέλετε εὕρει. ἔῤῥιξάν το λοιπὸν, καὶ πλέον δὲν ἠμπορῶσαν νὰ τὸ σύρουσιν ἀπὸ τὸ πλῆθος τῶν ψαριῶν.

7 Ὁ μαθητὴς λοιπὸν ἐκεῖνος ὁποῦ ἀγάπα ὁ Ἰησοῦς, λέγει τοῦ Πέτρου· ὁ Κύριός εἶναι. καὶ ὁ Σίμων Πέτρος, ὡσὰν ἄκουσεν ὅτι ὁ Κύριός εἶναι, ἐζώθη τὸ ὑποκάμισον, διατὶ ἦτον γυμνός, καὶ ἔῤῥιξε τοῦ λόγου του εἰς τὴν θάλασσαν.

8 Καὶ οἱ ἄλλοι μαθηταὶς ἦλθαν μὲ τὸ μονόξυλον, διατὶ δὲν ἦταν μακρὰ ἀπὸ τὴν γῆν, ἀλλὰ ἕως διακόσιαις πῆχαις, σύροντες τὸ δίκτυον τῶν ψαριῶν.

9 Ὡσὰν οὖν ἐβγῆκαν λοιπὸν εἰς τὴν γῆν, βλέπουσι ἀνθρακοφωτιὰν ἐποῦ κεῖτεται, καὶ ψάρι ὁποῦ κεῖτεται ἀπάνω εἰς τὴν ἀνθρακοφωτιὰν, καὶ ψωμί.

10 Λέγει τους ὁ Ἰησοῦς· φέρετε ἀπὸ τὰ ψάρια ὁποῦ ἐπιάσετε τώρα.

11 Ἀνέβη ὁ Σίμων Πέτρος, καὶ ἔσυρε τὸ δίκτυον ἀπάνω εἰς τὴν γῆν, γεμάτον ψάρια μεγάλα ἑκατὸν πενῆντα τρία· καὶ τόσα ὁποῦ ἦταν, δὲν ἐχαλάσθη τὸ δίκτυον.

12 Λέγει τους ὁ Ἰησοῦς· ἐλά-

Δεῦτε, ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτὸν, Σὺ τίς εἶ; εἰδότες ὅτι ὁ Κύριός ἐστιν.

13 Ἔρχεται οὖν ὁ Ἰησοῦς, καὶ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως.

14 Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

15 Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· Ναὶ Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Βόσκε τὰ ἀρνία μου.

16 Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· Ναὶ Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· Ποίμαινε τὰ πρόβατά μου.

17 Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον· Φιλεῖς με; καὶ εἶπε αὐτῷ· Κύριε, σὺ πάντα οἶδας· σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Βόσκε τὰ πρόβατά μου.

18 Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις.

19 Τοῦ-

τε, φᾶτε. καὶ κανένας δὲν ἐπόκοταν νὰ τοὺς μαθητάδες νὰ τὸν ἐξετάξῃ, ἐσὺ ποῖος ἔσαι; ἐξεύρωντες ὅτι ἦτον ὁ Κύριος.

13 Ἦλθε λοιπὸν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τὸ ψωμὶ, καὶ τοὺς τὸ ἔδωσε, καὶ τὸ ψάρι ὁμοίως.

14 Ἐτούτη ἦτον τότε τρίτη φορὰ ὅπου ἐφανερώθη ὁ Ἰησοῦς εἰς τοὺς μαθητάδες του, ἀφότις ἀνασκάθη ἀπὸ νεκρούς.

15 Ἀφότις λοιπὸν ἐφαγαν, λέγει ὁ Ἰησοῦς εἰς τὸν Σίμωνα Πέτρον· ὦ Σίμων (γιὲ Ξ) Ἰωνᾶ, ἀγαπᾷς με περισσότερον ἀπὸ τούτους; λέγει του· ναὶ αὐθέντη· ἐσὺ ἐξεύρεις ὅλα· ἀγαπῶ σε. λέγει του· βόσκε τὰ ἀρνία μου.

16 Λέγει του πάλιν δεύτερον· ὦ Σίμων (γιὲ Ξ) Ἰωνᾶ, ἀγαπᾷς με; λέγει του· ναὶ αὐθέντη· ἐσὺ ἐξεύρεις ὅτι ἀγαπῶ σε. λέγει του· ποίμαινε τὰ πρόβατά μου.

17 Λέγει του τὸ τρίτον· ὦ Σίμων (γιὲ Ξ) Ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ Πέτρος, ὅτι Ξ εἶπε τὸ τρίτον· φιλεῖς με; καὶ λέγει του· αὐθέντη, ἐσὺ ἐξεύρεις ὅλα· ἐσὺ γνωρίζεις ὅτι σ' ἀγαπῶ. λέγει του ὁ Ἰησοῦς· βόσκε τὰ πρόβατά μου.

18 Βέβαια, βέβαια σοῦ λέγω, ὅταν ἤσουν νεώτερος, ἐζώνεσουν, καὶ ἐπερπάτεις ὅπου ἤθελες· μὰ ὅταν γηράσῃς, θέλεις ἁπλώσῃ τὰ χέρια σου, καὶ ἄλλος θέλει σὲ ζώσῃ, καὶ θέλεις πάγει ἐκεῖ ὅπου δὲν θέλεις.

19 Καὶ

19 Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. Καὶ τοῦτο εἰπὼν, λέγει αὐτῷ· Ἀκολούθει μοι.

20 Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς, ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε;

21 Τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί;

22 Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; σὺ ἀκολούθει μοι.

23 Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει. καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνήσκει· ἀλλ'· Ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε;

24 Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ.

25 Ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρήσειν τὰ γραφόμενα βιβλία.

Ἀμήν.

19 Καὶ τοῦτο τὸ εἶπε, σημαδεύοντας μὲ τί λογῆς θάνατον θέλῃ δοξάσῃ τὸν Θεόν. Καὶ ὡσὰν εἶπεν ἐτοῦτο, λέγει τοῦ· ἀκολούθα μου.

20 Καὶ γυρίζοντας ὁ Πέτρος βλέπει ὅπου ἀκολουθοῦσε ὁ μαθητὴς ὅπου ἀγάπαε ὁ Ἰησοῦς, ὁ ὁποῦ ἔπεσεν εἰς τὸ στῆθός του εἰς τὸ δεῖπνον, καὶ εἶπεν· αὐθέντη, ποῖος εἶνε ὅπου σὲ παραδιδῇ;

21 Ὡσὰν εἶδεν ὁ Πέτρος ἐτοῦτον, λέγει εἰς τὸν Ἰησοῦν· αὐθέντη, ἀμὴ ἐτοῦτος τί (θέλει γένει);

22 Λέγει του ὁ Ἰησοῦς· ἐὰν ἐγὼ θέλω νὰ στέκῃ αὐτὸς ἕως ὅπου νὰ ἔλθω, τί σὲ μέλει ἐσένα; ἐσὺ ἀκολούθα μου.

23 Εὐγῆκε λοιπὸν ἔξω ὁ λόγος ἐτοῦτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος δὲν ἀποθνήσκει. ἀμὴ δὲν τοῦ εἶπεν ὁ Ἰησοῦς ὅτι δὲν ἀποθνήσκει· ἀλλὰ· ἐὰν ἐγὼ θέλω νὰ μένῃ ἕως ὅπου νὰ ἔλθω, τί σὲ μέλῃ ἐσένα;

24 Ἐτοῦτος εἶναι ὁ μαθητὴς ὁποῦ μαρτυρᾷ διὰ ἐτοῦτα, καὶ ὅπου ἔγραψεν ἐτοῦτα· καὶ ἠξεύρομεν ὅτι ἀληθινὴ εἶναι ἡ μαρτυρία του.

25 Καὶ εἶνε καὶ ἄλλα πολλὰ ὅσα ἔκαμεν ὁ Ἰησοῦς, καὶ ὁποῖα ἐὰν γράφῃ καθ' ἕνα, λογιάζω ὁ αὐτὸς ὁ κόσμος ἤθελε χωρέσῃ τὰ βιβλία ὁποῦ ἤθελαν γραφῇ. Ἀμήν.

ΠΡΑΞΕΙΣ
ΤΩΝ ΑΓΙΩΝ ΑΠΟΣΤΟΛΩΝ.

Κεφ. α'. 1.

ΤΟΝ μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν,

2 Ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.

3 Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

4 Καὶ συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός, ἣν ἠκούσατέ μου·

5 Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας.

6 Οἱ μὲν οὖν συνελθόντες, ἐπηρώτων αὐτὸν, λέγοντες· Κύ-

α'. 1.

ΕΓΩ, ὦ Θεόφιλε, ἔγραψα τὸν πρῶτον λόγον περὶ ὅλα ἐκεῖνα, ὁπού ἄρχισεν ὁ Ἰησοῦς νὰ κάμνῃ καὶ νὰ διδάσκῃ,

2 Ἕως τὴν ἡμέραν ὁποὺ ὅπου ἀνελήφθη, ἐφοντας καὶ νὰ ἐκλεξεξε τοὺς ἀποστόλους διὰ μέσου τοῦ ἁγίου Πνεύματος, τοὺς ὁποίους ἐκάλεξεν.

3 Εἰς τοὺς ὁποίους καὶ ἐπαρέστησεν τὸν λόγον τὸν ζωντανόν του ὕστερα ἀπὸ τὸ πάθος, μὲ πολλὰ σημάδια, σαρανταν ἡμέραις φανερόμενος εἰς αὐτοὺς, καὶ λέγοντας τὰ πράγματα τῆς βασιλείας τοῦ Θεοῦ.

4 Καὶ συναναστρεφόμενος μετ' αὐτοὺς τοὺς ἐπαρήγγειλεν, ἀπὸ τὴν Ἱερουσαλὴμ νὰ μὴν χωρίσουν, ἀλλὰ νὰ περιμένουν τὸ πάξιμον τοῦ πατρός, τὸ ὁποῖον ἀκούσετε, ὁποὺ σᾶς εἶπα·

5 Ὅτι ὁ Ἰωάννης ἐβάπτισε μὲ νερόν, ἀμὴ ἐσεῖς θέλετε βαπτισθῆ μὲ Πνεῦμα ἅγιον, εἰς ὀλίγαις ἡμέραις.

6 Οἱ ἀπόστολοι λοιπὸν ἐφωτοῦσαν νὰ μαζωχθοῦσιν εἰς μίαν μερίαν, τὸ ἐρωτοῦσαν, λέγοντες·

Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

7 Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

8 Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἰερουσαλὴμ καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

9 Καὶ ταῦτα εἰπὼν, βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

10 Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν, πορευομένου αὐτοῦ, καὶ ἰδοὺ, ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ.

11 Οἳ καὶ εἶπον· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.

12 Τότε ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμέ-

νου

τες· αὐξεντη, τίχα εἰς τὸν χρόνον τοῦτον ἀποκαθιστάνεις τὴν βασιλείαν εἰς τὸ ϑῦῳ τοῦ Ἰσραήλ;

7 Καὶ λέγει τοῖς· δὲν εἶναι ἐδικόν σας νὰ γνωρίζετε χρόνους ἢ καιροὺς, τοὺς ὁποίους ὁ πατὴρ τοὺς ἔθεσε εἰς τὴν ἐξουσίαν του.

8 Ἀλλὰ ὅταν ἔλθῃ τὸ Πνεῦμα τὸ ἅγιον εἰς ἐσᾶς, θέλετε πάρει δύναμιν ἀπ' αὐτό· καὶ θέλετε εἶσθαι μάρτυρές μου, καὶ εἰς τὴν Ἰερουσαλὴμ, καὶ εἰς ὅλην τὴν Ἰουδαίαν, καὶ εἰς τὴν Σαμάρειαν, καὶ ἕως εἰς τὸ ἄκρον τῆς γῆς.

9 Καὶ ὅταν εἶπεν ἐτοῦτα, βλέποντες ἐκεῖνοι, ὑψώθη· καὶ ἕνα σύννεφον τὸν ἐπῆρεν ἀπ' ὁμπρός τους ἀπὸ τὰ μάτια τους.

10 Καὶ ὅπου ἐστέκοντανε καὶ ἔβλεπαν ἀπάνω εἰς τὸν οὐρανὸν, πηγαίνοντας ἐκεῖνον, καὶ νά, καὶ δύο ἄνδρες καὶ ἐστάθηκαν σιμὰ εἰς αὐτοὺς μὲ φορέματα ἄσπρα.

11 Οἱ ὁποῖοι καὶ εἶπαν· ὦ ἄνδρες Γαλιλαῖοι, διατὶ στέκεσθε βλέποντες εἰς τὸν οὐρανόν; ἐτοῦτος ὁ Ἰησοῦς ὁπού ἀνελήφθηκεν ἀπὸ σᾶς εἰς τὸν οὐρανὸν, τέτοιος λογῆς θέλει ἔλθη πάλιν, καθὼς τὸν εἴδετε πηγαίνοντα εἰς τὸν οὐρανόν.

12 Τότε ἐγύρισαν εἰς τὴν Ἰερουσαλὴμ ἀπὸ τὸ ὄρος ὁπού

X 7 σμρά-

νὸς Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἰερουσαλήμ, σαββάτου ἔχον ὁδόν.

13 Καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, ὅπου ἦσαν καταμένοντες, ὅ, τε Πέτρος καὶ Ἰάκωβος, καὶ Ἰωάννης, καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς, καὶ Ἰούδας Ἰακώβου.

14 Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει, σὺν γυναιξὶ, καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ.

15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν, εἶπεν· (ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν.)

16 Ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ, περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν·

17 Ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης.

18 Οὗτος μὲν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ.

19 Καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, Ἀκελδαμάχ, τοῦτ' ἔστιν, Χωρίον αἵματος.

20 Γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν· Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ· καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος.

21 Δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς,

22 Ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ἕως τῆς ἡμέρας ἧς ἀνελήμφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων.

23 Καὶ ἔστησαν δύο, τὸν Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν.

24 Καὶ προσευξάμενοι εἶπαν· Σὺ, Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα,

25 Λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἀφ' ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον.

26 Καὶ ἔδωκαν κλήρους αὐτοῖς, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

Κεφάλαιον Β'.

1 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς, ἦσαν πάντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό.

2 Καὶ ἐγένετο ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσε πᾶσαν τὴν οἰκίαν οὗ ἦσαν καθήμενοι.

3 Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν.

4 Καὶ ἐπλήσθησαν πάντες Πνεύματος Ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς.

5 Ἦσαν δὲ κατοικοῦντες Ἰουδαῖοι ἐν Ἰερουσαλὴμ, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν.

6 Γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν.

7 Ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους· Οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι;

8 Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν;

9 Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν,

10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι,

11 Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ.

12 Ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· Τί θέλει τοῦτο εἶναι;

13 Ἕτεροι δὲ διαχλευάζοντες ἔλεγον ὅτι Γλεύκους μεμεστωμένοι εἰσί.

14 Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς· Ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἰερουσαλὴμ πάντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.

15 Οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε οὗτοι μεθύουσιν, ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας·

16 Ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ·

17 Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεὸς, ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται·

18 Καὶ γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου, καὶ προφητεύσουσι.

19 Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ·

20 Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ·

21 Καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται.

22 Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε·

23 Τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον διὰ χειρὸς ἀνόμων προσπήξαντες ἀνείλετε·

24 Ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.

25 Δαβὶδ γὰρ λέγει εἰς αὐτόν· Προορώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν, ἵνα μὴ σαλευθῶ·

26 Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου· ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι·

27 Ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.

28 Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.

29 Ἄνδρες ἀδελφοὶ, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβὶδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ τὸ μνῆμα αὐτοῦ ἔστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης.

30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ καθίσαι ἐπὶ τὸν θρόνον αὐτοῦ,

31 Προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ὅτι οὔτε ἐγκατελείφθη εἰς ᾅδου, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.

32 Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεὸς, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.

33 Τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθεὶς, τήν τε ἐπαγγελίαν τοῦ Πνεύματος τοῦ Ἁγίου λαβὼν παρὰ τοῦ Πατρὸς, ἐξέχεε τοῦτο ὃ ὑμεῖς καὶ βλέπετε καὶ ἀκούετε.

34 Οὐ γὰρ Δαβὶδ ἀνέβη εἰς τοὺς οὐρανούς· λέγει δὲ αὐτός· Εἶπε Κύριος τῷ Κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου,

35 Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

36 Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ἐποίησεν ὁ Θεὸς τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

37 Ἀκούσαντες δὲ κατενύγησαν τὴν καρδίαν, καὶ εἶπον πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· Τί ποιήσωμεν, ἄνδρες ἀδελφοί;

38 Πέτρος δὲ πρὸς αὐτοὺς, Μετανοήσατε, φησὶ, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν τῶν ἁμαρτιῶν ὑμῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ Πνεύματος τοῦ Ἁγίου.

39 Ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσι τοῖς εἰς μακρὰν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν.

40 Ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρατο καὶ παρεκάλει αὐτοὺς, λέγων· Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης.

41 Οἱ μὲν οὖν ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν· καὶ προσετέθησαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

42 Ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ, τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς.

43 Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος· πολλὰ δὲ τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο ἐν Ἰερουσαλήμ· καὶ φόβος ἦν μέγας ἐπὶ πάντας.

44 Πάντες δὲ οἱ πιστεύσαντες ἦσαν ἐπὶ τὸ αὐτὸ, καὶ εἶχον ἅπαντα κοινά·

45 Καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι καθότι ἄν τις χρείαν εἶχε.

46 Καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἁπλότητι καρδίας,

47 Αἰνοῦντες τὸν Θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. Ὁ δὲ Κύριος προσετίθει τοὺς σῳζομένους καθ' ἡμέραν ἐπὶ τὸ αὐτό.

Κεφάλαιον Γ'.

1 Πέτρος δὲ καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην.

2 Καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπῆρχε, ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν.

3 Οὗτος ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν, ἠρώτα ἐλεημοσύνην λαβεῖν.

4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ, εἶπε· Βλέψον εἰς ἡμᾶς.

5 Ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λήψεσθαι.

6 Εἶπε δὲ Πέτρος· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειρε καὶ περιπάτει.

7 Καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν αὐτόν· παραχρῆμα δὲ ἐστερεώθησαν αἱ βάσεις αὐτοῦ καὶ τὰ σφυδρά·

8 Καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν, περιπατῶν καὶ ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν.

9 Καὶ εἶδε πᾶς ὁ λαὸς αὐτὸν περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν·

10 Ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ Ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ· καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.

11 Κρατοῦντος δὲ αὐτοῦ τὸν Πέτρον καὶ τὸν Ἰωάννην, συνέδραμε πᾶς ὁ λαὸς πρὸς αὐτοὺς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος, ἔκθαμβοι.

12 Ἰδὼν δὲ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν· Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;

13 Ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς μὲν παρεδώκατε καὶ ἠρνήσασθε κατὰ πρόσωπον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν·

14 Ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν·

15 Τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρες ἐσμεν.

16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε ἐστερέωσε τὸ ὄνομα αὐτοῦ· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν.

17 Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν·

18 Ὁ δὲ Θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν παθεῖν τὸν Χριστὸν αὐτοῦ, οὕτως ἐπλήρωσε.

19 Μετανοήσατε οὖν καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας,

20 Ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου, καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Χριστὸν Ἰησοῦν,

21 Ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος τῶν ἁγίων ἀπ' αἰῶνος προφητῶν αὐτοῦ.

22 Μωσῆς μὲν γὰρ πρὸς τοὺς πατέρας εἶπεν ὅτι Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς.

23 Ἔσται δὲ πᾶσα ψυχὴ ἥτις ἐὰν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολεθρευθήσεται ἐκ τοῦ λαοῦ.

24 Καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν, κατήγγειλαν τὰς ἡμέρας ταύτας.

25 Ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν καὶ τῆς διαθήκης ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ὑμῶν, λέγων πρὸς Ἀβραάμ· Καὶ ἐν τῷ σπέρματί σου ἐνευλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.

26 Ὑμῖν πρῶτον ἀναστήσας ὁ Θεὸς τὸν παῖδα αὐτοῦ Ἰησοῦν, ἀπέστειλεν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

Κεφάλαιον Δ'.

1 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι,

2 Διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τὴν ἐκ νεκρῶν.

3 Καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη.

4 Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν· καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε.

5 Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἰερουσαλήμ,

6 Καὶ Ἄννα τὸν ἀρχιερέα, καὶ Καϊάφαν, καὶ Ἰωάννην, καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ.

7 Καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ, ἐπυνθάνοντο· Ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς;

8 Τότε Πέτρος πλησθεὶς Πνεύματος Ἁγίου εἶπε πρὸς αὐτούς· Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραὴλ,

9 Εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται,

10 Γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής.

11 Οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδόμων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας.

12 Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὐδὲ γὰρ ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς.

13 Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παῤῥησίαν καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον· ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν.

14 Τόν τε ἄνθρωπον βλέποντες τὸν τεθεραπευμένον μετ' αὐτῶν ἑστῶτα, οὐδὲν εἶχον ἀντειπεῖν.

15 Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους,

16 Λέγοντες· Τί ποιήσωμεν τοῖς ἀνθρώποις τούτοις; ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ φανερόν, καὶ οὐ δυνάμεθα ἀρνεῖσθαι·

17 Ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν, ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων.

18 Καὶ καλέσαντες αὐτοὺς παρήγγειλαν καθόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ.

19 Πέτρος δὲ καὶ Ἰωάννης ἀποκριθέντες πρὸς αὐτοὺς εἶπον· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε·

20 Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν.

10 Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς·

11 Οὓς δεῖ ἐπιστομίζειν· οἵτινες ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, αἰσχροῦ κέρδους χάριν.

12 Εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί.

13 Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής· δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει·

7 Διατὶ ἀναγκαῖον εἶναι ὁ ἐπίσκοπος νὰ εἶναι ἀκατηγόρητος, ὡσὰν οἰκονόμος τοῦ Θεοῦ· νὰ μὴν εἶναι αὐθάδης, νὰ μὴν εἶναι ὀξύθυμος, νὰ μὴν εἶναι ὑβριστής, νὰ μὴν εἶναι δάρτης, νὰ μὴν ἀγαπᾷ κακὰ κέρδη·

8 Ἀλλὰ νὰ ἀγαπᾷ τοὺς ξένους, νὰ ἀγαπᾷ τὸ καλὸν, νὰ εἶναι σώφρων, δίκαιος, ὅσιος, ἐγκρατής·

9 Νὰ κρατῇ τὸν πιστὸν λόγον τῆς διδαχῆς, διὰ νὰ δύνεται καὶ νὰ νουθετῇ τοὺς ἄλλους μὲ τὴν διδασκαλίαν τὴν ὑγιῆ, καὶ νὰ ἐλέγχῃ ἐκείνους ὁποὺ ἐναντιοῦνται.

10 Διατὶ εἶναι πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ ὁποὺ ἀπατοῦσι τοὺς λογισμοὺς, μάλιστα ἐκεῖνοι ὁποὺ εἶναι ἀπὸ τὴν περιτομήν.

11 Τοὺς ὁποίους πρέπει νὰ τοὺς ἐμποδίσωμεν, οἱ ὁποῖοι ὁλοκαίρια ἀνατρέπουσιν ἄνω κάτω, ἐδοντας νὰ διδάσκουσιν ἐκεῖνα ὁποὺ δὲν πρέπει, διὰ ἄχρηστον κέρδος.

12 Κάποιος ἀπ' αὐτοὺς ἰδικός της προφήτης εἶπεν· οἱ Κρητικοὶ πάντα εἶναι ψεύσται, κακὰ θηρία, κοιλίαις ἀκαμάτους.

13 Ἡ μαρτυρία ἐτούτη εἶναι ἀληθινή. διὰ τοῦτο ἔλεγχέ τους σκληρῶς, διὰ νὰ ὑγιαίνωσιν εἰς τὴν πίστιν·

14 Μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων ἀποτρεφομένων τὴν ἀλήθειαν.

15 Πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.

16 Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

14 Νὰ μὴν ἔχουν τὸν νοῦν τους εἰς μύθους Ἰουδαϊκοὺς, καὶ παραγγελίαις ἀνθρώπων, ὁποὺ ἀποτρέφουν τὴν ἀλήθειαν.

15 Ὅλα εἶναι καθαρὰ εἰς τοὺς καθαρούς· ἀμὴ εἰς τοὺς μεμιασμένους καὶ ἀπίστους δὲν εἶναι κανένα (πρᾶγμα) καθαρόν, ἀλλὰ εἶναι μεμιασμένοι καὶ ὁ νοῦς τους καὶ ἡ συνείδησις τους.

16 Ὁμολογοῦν νὰ γνωρίζουν τὸν Θεὸν, ἀμὴ μὲ τὰ ἔργα τὸν ἀρνοῦνται, ἔχοντας νὰ εἶναι σιχαμένοι, καὶ ἀπειθεῖς καὶ εἰς κάθε ἔργον ἀγαθὸν ἀνεπιτήδειοι.

Κεφ. β'. 2.

Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ.

2 Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ.

3 Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους,

4 Ἵνα σωφρονίζωσι τὰς νέας, φιλάνδρους εἶναι, φιλοτέκνους,

5 Σώφρονας, ἁγνάς, οἰκουρούς,

Ἀμὴ ἐσὺ λάλει ὁποῦ πρέπουσιν εἰς τὴν ὑγιῆ διδασκαλίαν.

2 Οἱ γέροντες νὰ εἶναι ἀμέθυσοι, νὰ εἶναι τιμημένοι, σώφρονες, ὑγιεῖς εἰς τὴν πίστιν, εἰς τὴν ἀγάπην, εἰς τὴν ὑπομονήν.

3 Ὁμοίως καὶ αἱ γερόντισσαις νὰ εἶναι μὲ σύντομα, ὁποὺ νὰ πρέπῃ εἰς τὴν ἁγιωσύνην, νὰ μὴν εἶναι καταλαλήτρεαις, νὰ μὴν δουλώνωντες εἰς πολὺ κρασὶ, νὰ εἶναι διδάσκαλοι τῆς καλωσύνης·

4 Διὰ νὰ σωφρονίζουν τὰς νέαις, νὰ ἀγαπῶσι τοὺς ἄνδρες τους καὶ τὰ παιδία τους,

5 Νὰ εἶναι σωφρονισμέναις, καθαραῖς, νὰ φυλάγουν τὸ σπί-

π)

κυρὰς, ἀγαθὰς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται.

6 Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν·

7 περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα,

8 λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων περὶ ὑμῶν λέγειν φαῦλον.

9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας·

10 μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν· ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις·

12 παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι·

13 προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ·

14 ὃς

ἢ, νὰ εἶναι ἀγαθάς, νὰ ὑποτάσσωνται εἰς τοὺς ἰδίους των ἄνδρας, διὰ νὰ μὴν βλασφημῆται ὁ λόγος τοῦ Θεοῦ.

6 Τὸν αὐτὸν τρόπον νουθέτει καὶ τοὺς νεωτέρους νὰ σωφρονῶσιν.

7 Εἰς ὅλα δίδε τοῦ λόγου σου παράδειγμα τῶν καλῶν ἔργων, (ὄντας) εἰς τὴν διδασκαλίαν ἀδιαφθορον καὶ σεμνὸς,

8 καὶ ἔχοντας λόγον ὑγιῆ καὶ ἀκατάγνωστον· διὰ νὰ ἐντραπῇ ὁ ἐναντίος, νὰ μὴ ἔχῃ νὰ λέγῃ ποτὲ κακὸν διὰ λόγου σας.

9 Οἱ δοῦλοι νὰ ὑποτάσσωνται εἰς τοὺς ἰδίους των αὐθεντάδες, εἰς ὅλα νὰ εἶναι δυάρεστοι, νὰ μὴν ἀντιλέγωσι·

10 Νὰ μὴν ἰδιοποιῶσι τὰ ξένα, ἀλλὰ νὰ δείχνωσι κάθε λοιπὸν πίστιν καλὴν, διὰ νὰ στολίζωσιν εἰς ὅλα τὴν διδασκαλίαν τοῦ σωτῆρος μας Θεοῦ.

11 Διατὶ ἐφανερώθη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτηρία πάσιν ἀνθρώποις·

12 Ὁποῦ μᾶς διδάσκει, διὰ νὰ ἀρνηθῶμεν τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, καὶ νὰ ζήσωμεν σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς, εἰς τὸν τωρινὸν αἰῶνα·

13 Ἀπαντεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος μας Ἰησοῦ Χριστοῦ.

14 Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων.

15 Ταῦτα λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. μηδείς σε περιφρονείτω.

14 Ὁ ὁποῖος ἔδωκε τὸν ἑαυτόν του διὰ λόγου μας, διὰ νὰ μᾶς ἐξαγοράσῃ ἀπὸ κάθε λογῆς ἀνομίαν, καὶ νὰ καθαρίσῃ εἰς ἴδιόν του λαὸν ἐδικόν του, ἐπιμελητὴν τῶν καλῶν ἔργων.

15 Ἐτοῦτα λάλει καὶ νουθέτα καὶ ἔλεγχε μὲ κάθε λογῆς ἐξουσίαν. καὶ κανένας ἂς μὴν σε καταφρονᾷ.

Κεφ. γ'. 3.

1 Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι·

2 Μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραότητα πρὸς πάντας ἀνθρώπους.

3 Ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους.

4 Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ,

5 Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως πνεύματος ἁγίου·

1 Νὰ ὑπομιζῇ τους νὰ ὑποτάσσωνται εἰς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, νὰ ὑπακούωσι, νὰ εἶναι ἕτοιμοι εἰς κάθε ἔργον καλόν·

2 Κανένα νὰ μὴν βλασφημοῦσι, νὰ εἶναι ἄμαχοι, ἱλαροὶ, δεῖχνοντες κάθε πραότητα εἰς ὅλους τοὺς ἀνθρώπους.

3 Διατὶ καὶ ἐμεῖς ἕνα καιρὸν ἤμεθα ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, καὶ ἐδουλεύαμεν τὰς ἐπιθυμίας καὶ ἡδονὰς πολλῶν λογιῶν, ἀκαθῶντες εἰς κακίαν καὶ φθόνον, μισημένοι, καὶ μισοῦντες ἕνας τὸν ἄλλον.

4 Ἀκριβῶς ὅταν ἐφανερώθη ἡ καλωσυνὴ καὶ ἡ φιλανθρωπία τοῦ σωτῆρος μας Θεοῦ,

5 Ὄχι ἀπὸ ἔργα δίκαια ὁποῦ ἐκάμαμεν ἐμεῖς, ἀλλὰ κατὰ τὸ ἔλεός του μᾶς ἔσωσε, διὰ μέσου τοῦ λεσιμάτος τῆς ξαναγεννήσεως καὶ ἀνακαινώσεως τοῦ ἁγίου Πνεύματος·

6 Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν·

7 Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

8 Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ· ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις.

9 Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔριδας, καὶ μάχας νομικὰς παραίτου· εἰσὶ γὰρ ἀνωφελεῖς, καὶ μάταιοι.

10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ·

11 Εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι.

13 Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ.

14 Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέ-

6 Τὸ ὁποῖον ἔχυσεν εἰς ἡμᾶς πλουσίως, διὰ μέσου τοῦ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος μας·

7 Διὰ νὰ δικαιωθῶμεν κληρονόμοι, κατὰ τὴν ἐλπίδα τῆς αἰωνίου ζωῆς, μὲ τὸ νὰ ἐδικαιώθημεν μὲ τὴν χάριν του.

8 Ὁ λόγος ἐστὶ πιστός· καὶ ἐγὼ θέλω νὰ βεβαιώνῃς, διὰ νὰ φροντίζουσι νὰ ὑπερέχουσιν εἰς τὰ καλὰ ἔργα ἐκεῖνοι ὁποῦ ἐπίστευσαν εἰς τὸν Θεόν. ἐτοῦτα εἶναι τὰ καλὰ καὶ ὠφέλιμα εἰς τοὺς ἀνθρώπους.

9 Ἀμὴ τὰ λωλὰ ζητήματα, καὶ τὰς γενεαλογίας, καὶ τὰς φιλονεικίας, καὶ τὰς μάχας τὰς νομικὰς, ἀπόστρεφε τους· διατὶ εἶναι ἀνωφελεῖς καὶ μάταιοι.

10 Τὸν ἄνθρωπον τὸν αἱρετικὸν, ὕστερα ἀπὸ μίαν καὶ δύο τέλειαν νουθεσίαν, ἀπόστρεφε τον·

11 Ἰξεύροντας ὅτι ὁ τοιοῦτος εἶναι διεστραμμένος, καὶ ἁμαρτάνῃ, ὄντας αὐτοκατάκριτος.

12 Ὅταν πέμψω εἰς ἐσένα τὸν Ἀρτεμᾶν ἢ τὸν Τυχικὸν, σπούδασε νὰ ἔλθῃς εἰς ἐμένα εἰς τὴν Νικόπολιν· διατὶ ἐκεῖ ἀπεφάσισα νὰ ξεχειμάσω.

13 Τὸν Ζηνᾶν τὸν νομικὸν, καὶ τὸν Ἀπολλῶ, ἔχετε φίλους τους, φροντίζοντας, νὰ μὴν τοὺς λείψῃ ποτε.

14 Καὶ ἂς μανθάνουσι καὶ οἱ ἐδικοί

ἢ μὲ περὶ καλῶν ἔργων παρίστασθαι εἰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν. Ἀμήν.

† Πρὸς Τίτον τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντος, ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας.

ἐδικοί μας νὰ ὑπάρχουσιν εἰς τὰ καλὰ ἔργα, διὰ τὰς ἀναγκαίας χρείας, διὰ νὰ μὴν εἶναι ἄκαρποι.

15 Ὅλοι ἐκεῖνοι ὁποῦ εἶναι μὲ τοῦ λόγου μας σὲ χαιρετοῦσι· χαιρέτισε ἐκείνους ὁποῦ μᾶς ἀγαποῦσι μὲ πίστιν· ἡ χάρις νὰ εἶναι μὲ ὅλους σας. Ἀμήν.

† Ἡ εἰς Τίτον, τῶν Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντος, ἐγράφη ἀπὸ Νικόπολιν τῆς Μακεδονίας.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ.

ΠΑΥΛΟΣ δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν,

2 Καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ, καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν, καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ·

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

ΠΑΥΛΟΣ ὁ δέσμιος τοῦ Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ὁ ἀδελφὸς, εἰς τὸν Φιλήμονα τὸν ἀγαπητὸν καὶ συνεργὸν μας,

2 Καὶ εἰς τὴν Ἀπφίαν τὴν ἀγαπητὴν, καὶ Ἄρχιππον τὸν συστρατιώτην μας, καὶ εἰς τὴν ἐκκλησίαν ὁποῦ εἶναι εἰς τὸ σπίτι σου.

3 Ἂς εἶναι χάρις εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν τὸν πατέρα μας, καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν.

4 Εὐ-

4 Εὐ-

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου,

5 Ἀκούων σου τὴν ἀγάπην, καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους·

6 Ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ὑμῖν εἰς Χριστὸν Ἰησοῦν.

7 Χαρὰν γὰρ ἔσχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.

8 Διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον·

9 Διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὤν, ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ.

10 Παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς μου, Ὀνήσιμον·

11 Τὸν ποτέ σοι ἄχρηστον, νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα·

4 Εὐχαριστῶ τῷ Θεῷ μου, πάντοτε ἐνθυμούμενός σε ἐπὶ τῶν προσευχῶν μου,

5 Ἀκούοντα τὴν ἀγάπην σου καὶ τὴν πίστιν, ἣν ἔχεις εἰς τὸν Κύριον Ἰησοῦν καὶ εἰς ὅλους τοὺς ἁγίους·

6 Διὰ νὰ γένῃ ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργητικὴ, εἰς ἐπίγνωσιν κάθε καλοῦ, ὅπου εἶναι εἰς ἐσᾶς ἀπὸ τὸν Χριστὸν Ἰησοῦν.

7 Πολλὴν χαρὰν ἔχομεν καὶ παρηγορίαν εἰς τὴν ἀγάπην σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων εἶναι ἀναπαυμένα διὰ μέσου σου, ἀδελφέ.

8 Διὰ τοῦτο πολλὴν παρρησίαν ἔχω ἐν Χριστῷ νὰ σὲ προστάζω τὸ ἁρμόδιον·

9 Ὅμως διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τέτοιος λογῆς ὢν, ὡσὰν Παῦλος γέροντας, καὶ τώρα ἀκόμι καὶ δέσμιος τοῦ Ἰησοῦ Χριστοῦ.

10 Παρακαλῶ σε διὰ τὸ ἐδικόν μου τέκνον, τὸ ὁποῖον τὸ ἐγέννησα μέσα εἰς τὰ δεσμά μου, τὸν Ὀνήσιμον·

11 Ὁ ὁποῖος ἦτον ἕνα καλοὸν ἦτον εἰς ἐκεῖνα ἄχρηστος, ἀμὰ τώρα καὶ εἰς ἐσένα καὶ εἰς ἐμένα εἶναι χρήσιμος τὸν ὁποῖον πάλιν σε ἐμεταπέμψα·

12 Σὺ δὲ αὐτὸν, τουτέστι, τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ.

13 Ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου·

14 χωρὶς δὲ τῆς γνώμης σου οὐδὲν ἠθέλησα ποιῆσαι· ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον.

15 Τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς·

16 οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητὸν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλόν σοι καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ;

17 Εἰ οὖν ἐμὲ ἔχεις κοινωνὸν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ.

18 Εἰ δέ τι ἠδίκησέ σε, ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει.

19 Ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρὶ, ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.

20 Ναὶ, ἀδελφὲ, ἐγώ σου ὀνά-

12 Καὶ ἐσὺ προσδέξῃ αὐτὸν, ὡσὰν ἐδικά μου σπλάγχνα.

13 Τὸν ὁποῖον ἐγὼ ἤθελα νὰ τὸν κρατῶ μὲ τὸ λόγο μου, διὰ νὰ μὲ ὑπηρεβῇ ἀντὶς διὰ σὲ εἰς τὰ δεσμὰ τοῦ εὐαγγελίου·

14 Ἀμὴ ἔξω ἀπὸ τὴν ἐδικήν σου γνώμην δὲν ἠθέλησα νὰ κάμω τίποτες, διὰ νὰ μὴν εἶναι τὸ καλόν σου ὡσὰν ἀναγκαστικόν, ἀλλὰ θελληματικόν.

15 Διατὶ ἴσως διὰ τοῦτο ἐχωρίσθη εἰς ὥραν (ἀπὸ σένα), διὰ νὰ τὸν ἀποκάβῃς πάλιν κατὰ νὰ τὸν ἔχῃς παντοτεινόν·

16 Ὄχι πλέον ὡσὰν δοῦλον, ἀλλὰ περισσότερον ἀπὸ δοῦλον, ὡσὰν ἀδελφὸν ἀγαπητόν, εἰς ἐμᾶς μάλιστα, κατὰ πόσῳ μᾶλλον εἰς ἐσένα, κατὰ σὰρκι κατὰ τὸν Κύριον;

17 Ἐὰν λοιπὸν ἔχῃς ἐμᾶς συντροφον, ἔπαρέ τον μὲ τὸ λόγο σὰς ὡσὰν ἐμᾶς.

18 Καὶ ἂν σε ἀδίκησε τίποτες, ἢ σὲ χρεωστῇ, ἐτοῦτο εἰς ἐμᾶς λογαριάσε το.

19 Ἐγὼ ὁ Παῦλος ἔγραψα μὲ τὸ ἐδικόν μου χέρι. ἐγὼ θέλω τὸ πληρώσει. διὰ νὰ μὴν σοῦ εἰπῶ ὅτι μὲ ἀπεωχρεωστᾶς κὴ τὸ λόγο σου.

20 Ναὶ, ἀδελφὲ, ἐγὼ ἄμ-

ἀναπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ.

21 Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις.

22 Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.

23 Ἀσπάζονταί σε, Ἐπαφρᾶς, (ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,) Μάρκος,

24 Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

25 Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

† Πρὸς Φιλήμονα ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.

ἄμποτε καὶ ἤθελα σὲ ὠφεληθῆ ἐν Κυρίῳ· ἀνάπαυσε τὰ σπλάγχνα μου ἐν Κυρίῳ.

21 Θαῤῥῶντας εἰς τὴν ὑπακοήν σου σοῦ ἔγραψα, εἰδότας ὅτι καὶ περισσότερα ἀπ' ἐμεῖνο ὁποῦ λέγω θέλεις κάμει.

22 Καὶ ὁμοῦ ἑτοίμαζέ μου καὶ ξενοδοχεῖον. Διατὶ ἐλπίζω, διὰ δεήσεως τῶν προσευχῶν σας θέλω χαρισθῆ εἰς ἐσᾶς.

23 Σᾶς χαιρετοῦν ὁ Ἐπαφρᾶς, ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, Μάρκος,

24 Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

25 Ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ νὰ εἶναι μὲ τὸ πνεῦμά σας. Ἀμήν.

† Ἡ εἰς Φιλήμονα ἐγράφη ἀπὸ τὴν Ῥώμην διὰ Ὀνησίμου οἰκέτου.

ΠΑΥ.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ Η ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ.

Καφ. α'. 1.

ΠΟΛΥΜΕΡΩΣ καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ,

2 Ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν.

3 Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς·

4 Τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

ΕΝΤΟΝΤΑΣ ὁ Θεὸς ἀνὰ ἐλάλησεν εἰς τοὺς πατέρας, τὸ παλαιὸν καιρῷ, εἰς πολλὰ μέρη καὶ μὲ πολλοὺς τρόπους, διὰ μέσου τῶν προφητῶν, ἐς παῖς ὕστερον τούτοις ἡμέρως μᾶς ἐλάλησεν διὰ μέσου τοῦ υἱοῦ.

2 Τὸν ὁποῖον ἔκαμε κληρονόμον ὅλων τῶν πραγμάτων, διὰ μέσου ὁποίου ἔκαμε καὶ τοὺς αἰῶνας.

3 Ὁ ὁποῖος ὄντας ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως τε, καὶ βαστῶντας τὰ πάντα μὲ τὸ λόγο τῆς δυνάμεώς τε, κάμνοντας διὰ μέσου τοῦ λόγου τὸ καθαρισμὸν τῶν ἁμαρτιῶν μας, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης εἰς τοὺς ὑψηλοὺς τόπους.

4 Καὶ ἔγινε τόσον μεγαλήτερος ἀπὸ τοὺς ἀγγέλους, ὅσῳ καὶ ἐξοχώτερον παρ' αὐτοὺς ἐκληρονόμησεν ὄνομα.

§ Τίνι

§ Διο-

5 Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν;

6 Ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα·

8 Πρὸς δὲ τὸν υἱόν· Ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

9 Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

10 Καὶ· Σὺ κατ' ἀρχὰς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί·

11 Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται·

12 Καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσον-

σὺ

5 Διατὶ εἰς ποῖον ἀπὸ τοὺς ἀγγέλους εἶπε ποτὲ αἰωνίαν φορὰν· υἱός μου εἶσαι ἐσύ, ἐγὼ σήμερον σὲ ἐγέννησα; καὶ πάλιν· ἐγὼ θέλω νὰ εἶμαι πατέρας, καὶ αὐτὸς θέλει μὲ εἶσαι υἱός.

6 Καὶ πάλιν, ὅταν ἐμβάσῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· ας τὸν προσκυνήσουν ὅλοι οἱ ἄγγελοι τοῦ Θεοῦ.

7 Καὶ διὰ τοὺς ἀγγέλους λέγει· ὁπού κάμνει τοὺς ἀγγέλους του πνεύματα, καὶ τοὺς λειτουργούς του φλόγα φωτός.

8 Διὰ δὲ τὸν υἱὸν λέγει· ὁ θρόνος σου, ὁ Θεὸς, εἶναι αἰώνιος· ῥάβδος τοῦ ἰσότητος εἶναι τὸ ῥαβδὶ τῆς βασιλείας σου.

9 Ἠγάπησες δικαιοσύνην, καὶ ἐμίσησες ἀνομίαν· διὰ τοῦτο σὲ ἔχρισεν ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παραπάνω ἀπὸ τοὺς συντρόφους σου.

10 Καὶ· ἐσὺ ἀπὸ τὴν ἀρχὴν, Κύριε, ἐθεμελίωσας τὴν γῆν, καὶ οἱ οὐρανοὶ εἶναι ἔργα τῶν χειριῶν σου.

11 Αὐτοὶ θέλουσι χαλασθῆ, ἀμὴ ἐσὺ μένεις βέβαιος· καὶ ἐκεῖνοι ὅλοι ὡσὰν φόρεμα θέλουσι παλαιώσει.

12 Καὶ ὡσὰν ἀπανωφόρεμα θέλεις τοὺς τυλίξει, καὶ θέλουσι με-

σὺ ἢ ὁ αὐτὸς εἶ, καὶ ὦ ἔτη σου οὐκ ἐκλείψουσι.

13 Πρὸς ποῖον δὲ τῶν ἀγγέλων εἶπε ποτε· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου;

14 Οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

μεταβαλῇ· καὶ ἐὰν εἶσαι ὁ αὐτὸς, καὶ οἱ χρόνοι σου δὲν θέλουν λείψει.

13 Καὶ εἰς ποῖον ἀπὸ τοὺς ἀγγέλους εἶπε καμμίαν φοράν· κάθου ἐκ δεξιῶν μου, ἕως ὅπου νὰ βάλω τοὺς ἐχθρούς σου ὑποπόδιον εἰς τὰ ποδάρια σου;

14 Δὲν εἶναι ὅλοι λειτουργικὰ πνεύματα, ὅπου στέλλουσιν εἰς ὑπηρεσίαν, διὰ ἐκείνους ὅπου μέλλουσι νὰ κληρονομήσουσι σωτηρίαν;

Κεφ. β'. 2.

ΔΙΑ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραρρυῶμεν.

2 Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν·

3 πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη·

4 συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ πνεύματος

ΔΙΑ τοῦτο πρέπει νὰ ἔχωμεν τὸν νοῦν μας περισσότερον εἰς ἐκεῖνα ὅπου ἀκούσαμεν, μήπως καὶ παραγλυστρήσωμεν.

2 Διατὶ ἐὰν ὁ λόγος ὁποῦ ἐλαλήθη διαμέσου τῶν ἀγγέλων ἔγινε βέβαιος, καὶ κάθε παράβασις καὶ παρακοὴ ἔλαβε δικαίαν πληρωμήν,

3 πῶς θέλουμεν γλυτώσει ἐμεῖς, ἐὰν ἀμελήσωμεν τόσαις λογῆς μεγάλου σωτηρίαν; ἡ ὁποία ἀφοῦ ἐνα λαλήθη διαμέσου τοῦ Κυρίου, καὶ ἀπὸ ἐκείνους ὁποῦ τὴν ἄκουσαν, ἐβεβαιώθη εἰς ἐμᾶς·

4 Ἐξόντας νὰ συνεμαρτύρα ὁ Θεὸς μὲ σημεῖα καὶ μὲ τέρατα, καὶ μὲ πολλῶν λογιῶν δυνάμεις, καὶ μὲ τοῦ μερισμοῦ

ματος ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν.

5 Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν.

6 Διεμαρτύρατο δέ πού τις, λέγων· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν;

7 Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου.

8 Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

9 Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου.

10 Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ

σωμάτων (τῶν χαρισμάτων) τοῦ ἁγίου Πνεύματος, κατὰ τὴν θέλησιν τοῦ.

5 Διὰ δὲ ὑπέταξεν εἰς τοὺς ἀγγέλους τὴν μέλλουσαν οἰκουμένην, διὰ τὴν ὁποίαν ἐμεῖς λαλοῦμεν.

6 Καὶ κάποιος ἐμαρτύρησεν εἰς κάποιον τόπον, λέγοντας· Τί εἶναι ὁ ἄνθρωπος, διὰ νὰ τὸν ἐνθυμᾶσαι; ἢ ὁ υἱὸς τοῦ ἀνθρώπου, διὰ νὰ τὸν ἐπιμελῆσαι;

7 Τὸν ἐσμίκρυνες εἰς ὀλίγον ἀπὸ τοὺς ἀγγέλους· καὶ ἐστεφάνωσες τον με δόξαν καὶ μὲ τιμήν, καὶ τὸν ὑπέταξες ἀπάνω εἰς τὰ ἔργα τῶν χειρῶν σου.

8 Ὅλα τὰ ὑπέταξες ἀπομπάνω εἰς τὰ ποδάρια του. Διατὶ ὅπου ὑπέταξεν εἰς αὐτὸν τὰ πάντα, δὲν ἀφῆκεν κανένα πρᾶγμα, ὅπου δὲν τὸ ὑπόταξεν· καὶ πάλιν ἀκόμι δὲν βλέπομεν νὰ εἶναι εἰς αὐτὸν τὰ ὅλα ὑποταγμένα.

9 Ἀλλὰ βλέπομεν ἐστεφανωμένον με δόξαν καὶ τιμήν, διὰ τὸ πάθος τοῦ θανάτου, τὸν Ἰησοῦν, ὁποὺ ἐσμικρύνθη ὀλίγον πάνω ἀπὸ τοὺς ἀγγέλους· διὰ νὰ γεύσῃ θάνατον, μὲ τὴν χάριν τοῦ Θεοῦ, διὰ καθένα.

10 Διατὶ ἔπρεπεν εἰς αὐτὸν,

διὰ

τὰ πάντα καὶ δι' ὃ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

11 Ὁ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες. Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν,

12 Λέγων· Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε.

13 Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ. Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ Θεός.

14 Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτέστι τὸν διάβολον·

15 Καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας.

16 Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται.

διὰ τὸ ὁποῖον εἶναι τὰ πάντα, καὶ δι' αὐτὸν τὰ ὁποῖα ἔχουν τὰ πάντα, νὰ τελειώσῃ διὰ παθημάτων τὸν ἀρχηγὸν τῆς σωτηρίας των, ὁποὺ ἔπρεπε νὰ φέρῃ πολλοὺς υἱοὺς εἰς δόξαν.

11 Διατὶ καὶ ὁ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι, ἀπὸ ἕνα εἶναι ὅλοι. διὰ τὴν ὁποίαν αἰτίαν δὲν ντρέπεται νὰ τοὺς ὀνομάζῃ ἀδελφούς,

12 Λέγοντας· Θέλω ἀναφέρει τὸ ὄνομά σου εἰς τοὺς ἀδελφούς μου, εἰς τὴν μέσιν τῆς ἐκκλησίας θέλω σὲ ὑμνήσει.

13 Καὶ πάλιν· ἐγὼ θέλω πιστεύει εἰς αὐτόν. καὶ πάλιν· νὰ ἐγὼ καὶ τὰ παιδία ὁποὺ μὲ ἔδωκεν ὁ Θεός.

14 Ἐπειδὴ λοιπὸν τὰ παιδία ἐμετέσχασι σάρκας καὶ αἵματος, καὶ αὐτὸς ὁμοίως ἔλαβε μετοχὴν τῶν αὐτῶν, διὰ νὰ χαλάσῃ διὰ τοῦ θανάτου ἐκεῖνον, ὁποὺ ἔχει τὸ κράτος τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον·

15 Καὶ διὰ νὰ ἐλευθερώσῃ ἐκείνους, ὅσοι ἦσαν δι' ὅλης τῆς ζωῆς εἰς τὴν δουλείαν εἰς ὅλην τὴν ζωήν, διὰ τὸν φόβον τοῦ θανάτου.

16 Διατὶ δὲν πέρνει εἰς τοῦ λόγου τοὺς ἀγγέλους, ἀλλὰ πέρνει εἰς τοῦ λόγου τὸ σπέρμα τοῦ Ἀβραάμ.

17 Ὅθεν

17 Διὸ

17 Ὅθεν ὤφειλε κ) πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται κ) πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ.

17 Διὰ τοῦτο ἐχρεώστει νὰ ὁμοιωθῇ εἰς ὅλα τοὺς ἀδελφούς, διὰ νὰ γένῃ ἐλεήμων καὶ πιστὸς ἀρχιερεύς, εἰς ὅ,τι ὡς πρᾶγμα ὅπου πρέπει νὰ γίνωνται σημεῖα εἰς τὸν Θεὸν, εἰς τὸ νὰ καθαρίζῃ τοὺς ἁμαρτίας τοῦ λαοῦ.

18 Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

18 Διατὶ εἰς ἐκεῖνο ὅπου αὐτὸς ἔπαθε ὅταν ἐπειράχθη, δύναται νὰ βοηθήσῃ ἐκείνους ὅπου πειράζονται.

Κεφ. γ'. 3.

Ὅθεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Χριστὸν Ἰησοῦν·

Διὰ τοῦτο, ἀδελφοὶ ἅγιοι, ὅπου ἐκαλεσθήκετε εἰς τὴν κοινωνίαν τοῦ καλέσματος τοῦ ἐπουρανίου, στοχάσθε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας μας, τὸν Χριστὸν Ἰησοῦν.

2 Πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν, ὡς καὶ Μωσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ.

2 Ὁποῦ εἶναι πιστὸς εἰς ἐκεῖνον ὅπου τὸν ἔκαμε (ἀπόστολον καὶ ἀρχιερέα), καθὼς καὶ ὁ Μωϋσῆς (ἔγινε πιστὸς) εἰς ὅλον τὸ σπῆτι.

3 Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει ὁ οἰκοδομήσας αὐτόν.

3 Διατὶ ἐτοῦτος τόσον ἠξιώθη θειοτέρας τιμῆς παρὰ τὸν Μωϋσῆν, ὅσον ἔχει θειοτέραν τιμὴν ἀπὸ τὸ σπῆτι ἐκεῖνος ὁποὺ τὸ σπητοκόπησε.

4 Πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος· ὁ δὲ τὰ πάντα κατασκευάσας, Θεός.

4 Διατὶ κάθε σπῆτι γίνεται ἀπὸ κανέναν, καὶ ἐκεῖνος ὅπου ἔκαμε τὰ πάντα, εἶναι ὁ Θεός.

5 Καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς

5 Καὶ ὁ Μωϋσῆς ἔγινε πιστὸς εἰς ὅλον τὸ σπῆτι, ὡσὰν

εἰς μαρτύριον τῶν λαλησησωμένων.

6 Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθεν, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι·

7 ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν,

8 ἀπειθήσασί ποτε, ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγοι, τοῦτ' ἔστιν ὀκτὼ ψυχαὶ διεσώθησαν δι' ὕδατος·

9 ὃ καὶ ὑμᾶς ἀντίτυπον νῦν σώζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν, δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ,

10 ὃς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

11 Χριστοῦ οὖν παθόντος σαρκὶ, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε, ὅτι ὁ παθὼν σαρκὶ πέπαυται ἁμαρτίας,

12 εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον.

13 Ἀρκετὸς γὰρ ὁ παρεληλυθὼς χρόνος τὸ βούλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις·

14 ἐν ᾧ ξενίζονται μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες·

15 οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς.

16 εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκὶ, ζήσωσι δὲ κατὰ Θεὸν πνεύματι.

17 Πάντων δὲ τὸ τέλος ἤγγικε· σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς·

18 πρὸ πάντων τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν·

19 φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμοῦ·

20 ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ·

21 εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος ἧς χορηγεῖ ὁ Θεὸς, ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστὶ τὸ κράτος καὶ τὸ τιμὴ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

22 Ἀγαπητοὶ, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου ὑμῖν συμβαίνοντος·

23 ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι.

24 Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται· κατὰ μὲν αὐτοὺς βλασφημεῖται, κατὰ δὲ ὑμᾶς δοξάζεται.

25 Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς, ἢ κλέπτης, ἢ κακοποιὸς, ἢ ὡς ἀλλοτριεπίσκοπος·

26 εἰ δὲ ὡς Χριστιανὸς, μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ μέρει τούτῳ.

27 Ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ· εἰ δὲ πρῶτον ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ τοῦ Θεοῦ εὐαγγελίῳ;

28 καὶ εἰ ὁ δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται;

29 Ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα τοῦ Θεοῦ, πιστῷ κτίστῃ παρατιθέσθωσαν τὰς ψυχὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ.

ὡσὰν δηλονότι, εἰς μαρτύριον ὑμῶν ὅπερ ἔμελλον καὶ λαλήσουσιν.

6 Ἀμὴν ὁ Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτιῶν ἔπαθεν, ὁ δίκαιος ὑπὲρ τῶν

13 Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται· ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας·

14 Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐὰν περ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν κατάσχωμεν·

15 Ἐν τῷ λέγεσθαι· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ.

16 Τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως.

17 Τίσι δὲ προσώχθισε τεσσεράκοντα ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ;

18 Τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι;

19 Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν διὰ ἀπιστίαν.

13 Ἀλλὰ νουθετεῖτε ἑαυτοὺς τὴν ἄλλην πᾶσαν ἡμέραν, ἕως οὗ καλεῖται τὸ σήμερον· διὰ νὰ μὴν σκληρυνθῇ κανεὶς ἀπ' ἐσᾶς μὲ τὴν ἀπάτην τῆς ἁμαρτίας.

14 Διατὶ ἐγινήκαμεν κοινωνοὶ τοῦ Χριστοῦ, ἐὰν κρατήσωμεν τὴν ἀρχὴν τῆς ὑποστάσεως βεβαίαν ἕως τὸ τέλος.

15 Ἕως ὅπου λέγεται, σήμερον ἐὰν ἀκούσητε τὴν φωνήν του, μὴν σκληρύνετε τὰς καρδίας σας, ὡς ἐν τῷ παραπικρασμῷ.

16 Διατὶ τινὲς ὅπου τὴν ἄκουσαν, ἐπικράνησαν τὸν Θεόν εἰς ὀργήν, ἀλλὰ ὄχι ὅλοι ἐκεῖνοι ὅπου βγῆκαν ἀπὸ τὴν Αἴγυπτον διὰ μέσου τοῦ Μωϋσέως.

17 Καὶ εἰς ποίους ἐθυμώκαρδισεν σαράντα χρόνους; ὄχι τάχα εἰς ἐκείνους ὅπου ἁμάρτησαν, τῶν ὁποίων τὰ μέλη ἔπεσαν εἰς τὴν ἔρημον;

18 Καὶ ποίους ὤμοσεν ὅπου δὲν μέλλουν νὰ ἔμβουσιν εἰς τὴν κατάπαυσίν του, παρὰ μοναχὰ ἐκείνους ὅπου ἔγιναν ἀπιθεῖς;

19 Καὶ βλέπομεν ὅτι δὲν ἐδυνήθηκαν νὰ ἐμβοῦσι διὰ τὴν ἀπιστίαν.

Κεφ. δ'. 4.

Φοβηθῶμεν οὖν μήποτε καταλειπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, δοκή τις ἐξ ὑμῶν ὑστερηκέναι.

2 Καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ' οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους, μὴ συγκεκραμένος τῇ πίστει τοῖς ἀκούσασιν.

3 Εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες, καθὼς εἴρηκεν· Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων.

4 Εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω· Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.

5 Καὶ ἐν τούτῳ πάλιν· Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

6 Ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ

Ἂς φοβηθοῦμεν λοιπὸν μήπως καὶ κανένας ἀπ' ἐσᾶς ἀφίνωντας τὸ παίγμον τ' εἰσόδου εἰς τὴν κατάπαυσίν τ', φανῇ νὰ στερηθῇ αὐτὴν ἀφ' τὴν ἀργητεα.

2 Διαὶ ἡ ἐπαγγελία σὰν γελιόθη καὶ εἰς ἐμοῦς, ὡσὰν καὶ εἰς ἐκείνους· ἀλλὰ ὁ λόγος ὁπᾶ ἄκουσαν δὲν τοὺς ὠφέλησεν ἐκείνους, μὲ τὸ νὰ μὴν εἶνη συγκερασμένος μὲ τὴν πίστιν, εἰς ἐκείνους ὁπού τὸν ἤκουαν.

3 Διαπὶ ἐμβαίνομεν εἰς τὴν κατάπαυσιν ὅσοι ἐπιστεύσαμεν, καθὼς εἶπεν· Διὰ τοῦτο ὤμοσα εἰς τὴν ὀργήν μου, ὅπι νὰ μὴν ἐμβοῦσιν εἰς τὴν κατάπαυσίν μου. ἂν καλᾶ καὶ τὰ ἔργα τ' κόσμου νὰ ἐχύθηκαν ἀπὸ τὴν ἀρχὴν τ' κόσμου.

4 Διαπὶ ὁ Θεὸς εἶπε κάπου, διὰ τὴν ἐβδόμην ἡμέραν, ἔτσιτοτζόπως· καὶ κατέπαυσεν ὁ Θεὸς εἰς τὴν ἡμέραν τὴν ἐβδόμην ἀπὸ ὅλα τὰ τ' ἔργα.

5 Καὶ εἰς τοῦτον τ' τόπον πάλιν εἶπεν· ἐὰν ἔμβουσιν εἰς τὴν κατάπαυσίν μου.

6 Ἐπειδὴ λοιπὸν ἀπομένη νὰ ἔμβουσι λιγὲς εἰς αὐτὴν, καὶ ἐκεῖ-

ωτέρου διαγελιαθέντες τῶν εἰσῆλθον δι' ἀπείθειαν.

7 Πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαβὶδ λέγων, μετὰ τοσοῦτον χρόνον· (καθὼς εἴρηται) Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.

8 Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας.

9 Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ.

10 Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός.

11 Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν· ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας.

12 Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας·

ἐκεῖνοι ὅπου διαγελιάθηκαν πρωτύτερα, δὲν ἐμβήκασιν ὁλιὰ τὴν ἀπείθειαν.

7 Πάλιν ὁρίζει κάποιαν ἡμέραν, σήμερον; εἰς τὸν Δαβὶδ λέγοντας, ὕστερον ἀπὸ τόσους χρόνους, καθὼς ἐλαλήθη· σήμερον ἐὰν τὴν φωνήν τε ἀκούσετε, μὴν σκληρύνετε τὰς καρδίας σας.

8 Διατὶ ἐὰν ὁ Ἰησοῦς (τοῦ Ναυὶ) ἤθελε τοὺς ἀναπαύσῃ, δὲν ἤθελεν λαλῇ ὁλιὰ ἄλλην ἡμέραν ὕστερον.

9 Λοιπὸν ἀπομένει ἀκόμι ἀνάπαυσις εἰς τὸν λαὸν τοῦ Θεοῦ.

10 Διατὶ ἐκεῖνος ὅπου ἐμβῆκεν εἰς τὴν κατάπαυσίν του, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τὰ ἔργα του, καθὼς ὁ Θεὸς (κατέπαυσεν) ἀπὸ τὰ ἰδιά του ἔργα.

11 Ἂς σπουδάσωμεν λοιπὸν νὰ ἐμβῶμεν εἰς ἐκείνην τὴν κατάπαυσιν· μήπως καὶ πέσῃ κανένας εἰς τὸ αὐτὸ παράδειγμα τῆς ἀπειθείας.

12 Διατὶ ὁ λόγος τοῦ Θεοῦ εἶναι ζωντανὸς, καὶ ἐνεργὴς, καὶ κοπτικώτερος παντὸς σπαθιοῦ δίστομον, καὶ περνᾷ ἕως τοῦ μερισμοῦ τῆς ψυχῆς καὶ τοῦ πνεύματος, καὶ τῶν ἁρμῶν καὶ τῶν μυελῶν, καὶ ἐξαπίσης τῶν

θυμήσεων καὶ ἐννοιῶν καρδίας.

13 Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ πρὸς ὃν ἡμῖν ὁ λόγος.

14 Ἔχοντες οὖν ἀρχιερέα μέγαν, διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας.

15 Οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα, χωρὶς ἁμαρτίας.

16 Προσερχώμεθα οὖν μετὰ παῤῥησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὐκαιρον βοήθειαν.

ἐνθυμήσεων καὶ τῶν ἐννοιῶν τῆς καρδίας.

13 Καὶ δὲν εἶναι καμία κτίσις ἀφανέρωτη ὁμπρεσθέ του· ἀλλὰ ὅλα εἶναι γυμνὰ καὶ ἀνοιχτὰ εἰς τὰ μάτια ἐκείνου, εἰς τὸν ὁποῖον ἔχομεν νὰ δώσωμεν λογαριασμόν.

14 Ἔχοντες λοιπὸν ἀρχιερέα μέγαν, ἐπου διέβησε τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατοῦμεν τὴν ὁμολογίαν.

15 Διατὶ δὲν ἔχομεν ἀρχιερέα ὁποῦ νὰ μὴν δύνεται νὰ συμπαθήσῃ ταῖς ἀσθενείαις μας, ἀλλὰ (ἔχομεν) ἐκεῖνον ὁποῦ ἐπειράχθη εἰς ὅλα ὁμοίως, χωρὶς ἁμαρτίαν.

16 Σημώνομεν λοιπὸν μὲ θάῤῥος εἰς τὸν θρόνον τῆς χάριτος, διὰ νὰ πάρωμεν ἔλεον, καὶ νὰ εὕρωμεν χάριν καὶ βοήθειαν εἰς καιρὸν ἐπιτήδειον.

Κεφ. ε'. 5.

Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεὸν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν·

Διατὶ κάθε ἀρχιερεὺς ὁποῦ πέρνεται ἀπὸ τοὺς ἀνθρώπους, καταστήνεται (ἀρχιερεὺς) διὰ τοὺς ἀνθρώπους, εἰς τὰ πρέπουσα ὁποῦ κάμνει χρεία νὰ γίνωσι σημᾶ εἰς τὸν Θεὸν, διὰ νὰ προσφέρῃ δῶρά τε καὶ θυσίας διὰ τὰς ἁμαρτίας·

2 Με- 2 Διὰ-

2 Μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις· ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν·

3 Καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν.

4 Καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλὰ ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών·

5 Οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

6 Καθὼς καὶ ἐν ἑτέρῳ λέγει· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

7 Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας,

8 Καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν·

9 Καὶ

2 Δυνάμενος καὶ συμπάσχειν δικαίως μὲ τοὺς ἀγνοοῦντας καὶ πλανεμένους· ἐπειδὴ καὶ αὐτὸς εἶναι ἐνδεδυμένος ἀσθένειαν.

3 Καὶ διὰ ἐτούτην χρεωστεῖ, καθὼς διὰ τὸν λαόν, τόσον καὶ λόγον νὰ προσφέρῃ θυσίαν διὰ τὰς ἁμαρτίας.

4 Καὶ κανένας δὲν παίρνει τὴν τιμὴν εἰς τὸν λόγον του, ἀλλὰ ὅποιον ὁποὺ καλεῖται ἀπὸ τὸν Θεόν, τοῦτο πέρνει, ὡσὰν καὶ ὁ Ἀαρών.

5 Τοιουτοτρόπως καὶ ὁ Χριστὸς δὲν ἐδόξασε τὸν λόγον του νὰ γένῃ ἀρχιερεύς, ἀλλὰ ὅποιον (τὸν ἐδόξασεν) ὁποὺ εἶπεν· Υἱός μου εἶσαι ἐσύ, ἐγὼ σήμερον σὲ ἐγέννησα.

6 Καθὼς καὶ εἰς ἄλλον (Ψαλμὸν) λέγει· ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τοῦτο τάξιν Μελχισεδέκ.

7 Ὁ ὁποῖος (Χριστὸς) εἰς τὰς ἡμέρας τῆς σαρκός του, ἔχοντας νὰ προσφέρῃ δεήσεις καὶ παρακαλέσεις μὲ κραυγὴν δυνατὴν καὶ δάκρυα εἰς ὅποιον ὁποὺ ἐδύνετον νὰ τὸν γλυτώσῃ ἀπὸ τὸν θάνατον, καὶ ἔχοντας νὰ εἰσακουσθῇ ἀπὸ τοῦτο εὐλάβειαν,

8 Ἂν καλὰ καὶ νὰ ἦτον υἱός, ὅμως ἀπ' ἐκεῖνα ὁποὺ ἔπαθεν, ἔμαθε τοῦτο ὑπακολούθι·

9 Καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἰτίος σωτηρίας αἰωνίου·

10 Προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

11 Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν· ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς.

12 Καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ· καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς.

13 Πᾶς γὰρ ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης· (νήπιος γάρ ἐστι.)

14 Τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

9 Καὶ ὡσὰν ἐτελειώθη, ἔγινεν εἰς ὅλους τοὺς ὑπηκόους αὐτοῦ σωτηρίας αἰωνίου·

10 Ἐσοντας νὰ ὀνομασθῇ ἀπὸ τὸν Θεὸν ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.

11 Διὰ τὸ ὁποῖον ἔχομεν νὰ εἰπῶμεν πολλὰ λόγια, τὰ ὁποῖα εἶναι δυσκολοδιήγητα, ἐπειδὴ ἐγίνητε ὀκνοὶ εἰς τὰς ἀκοάς.

12 Διατὶ ἐκεῖ ὁποῦ ἔπρεπε νὰ εἶσθε διδάσκαλοι διὰ τὸν καιρὸν, χρειάζεσθε πάλιν νὰ σᾶς διδάσκῃ τινάς, ποῖα εἶναι τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ εἶσθε τέτοιοι ὁποῦ χρειάζεσθε γάλα, καὶ ὄχι στερεὰν τροφήν.

13 Διατὶ καθένας ὁποῦ μετέχῃ τὸ γάλα, εἶναι ἄπειρος ἀπὸ τὸν λόγον τῆς δικαιοσύνης· διατὶ εἶναι νήπιος.

14 Καὶ ἡ στερεὰ τροφὴ εἶναι τῶν τελείων, ὁποῦ ἔχουσι τὰ αἰσθητήρια ἀσκημένα διὰ τὴν ἕξιν, εἰς τὸ νὰ διακρίνουσι τὸ καλὸν καὶ τὸ κακόν.

Κεφ. ϛ'. 6.

Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ τὴν τελειότητα φερώμεθα· μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεόν,

ΔΙΑ τοῦτο ἀφίνοντες τὸν λόγον τῆς ἀρχῆς τοῦ Χριστοῦ, ἂς φερώμεθα εἰς τὴν τελειότητα, μὴν βάλλομεν πάλιν θεμέλιον μετανοίας ἀπὸ τὰ νεκρὰ ἔργα, καὶ τῆς πίστεως εἰς τὸν Θεόν,

2 Βα-

2 Καὶ

2 Βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου.

3 Καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός.

4 Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου,

5 Καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα, δυνάμεις τε μέλλοντος αἰῶνος,

6 Καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας.

7 Γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ.

8 Ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν.

9 Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα καὶ ἐχο-

2 Καὶ τῆς διδαχῆς τῶν βαπτισμῶν, καὶ τῆς ἐπιθέσεως τῶν χειρῶν, καὶ τῆς ἀναστάσεως τῶν νεκρῶν, καὶ τῆς κρίσεως τῆς αἰωνίου.

3 Καὶ τοῦτο θέλομεν τὸ κάμει, ἂν μᾶς τὸ συγχωρέσῃ ὁ Θεός.

4 Διατὶ ἀδύνατον εἶναι ἐκεῖνοι ὁποῦ ἐφωτίσθηκαν μίαν φοράν, καὶ ἐγεύθηκαν τῆς ἐπουρανίου δωρεᾶς, καὶ ἔγιναν μέτοχοι τοῦ ἁγίου Πνεύματος,

5 Καὶ ἐγεύθηκαν τὸ καλὸν λόγον τοῦ Θεοῦ, καὶ τὰς δυνάμεις τοῦ μέλλοντος αἰῶνος,

6 Καὶ ἐὰν παραπέσουσι, νὰ ξανακαινουργώσουν τοῦ λόγου τους πάλιν εἰς μετάνοιαν, ξανασταυρώνοντες εἰς τοῦ λόγου τους τὸν υἱὸν τοῦ Θεοῦ, καὶ παμπάζοντές τον.

7 Διατὶ ἡ γῆ ὁποῦ πίνει τὴν βροχὴν ὁποῦ ἔρχεται πολλάκις εἰς αὐτὴν, καὶ βγάνει χορτάρια ἐπρεπόντα διὰ ἐκείνους διὰ τοὺς ὁποίους καὶ γεωργεῖται, παίρνει εὐλογίαν ἀπὸ τὸν Θεόν.

8 Ἀμὴ ἐκείνη ἡ γῆ ὁποῦ φυτρώνει ἀγκάθια καὶ τριβόλια, εἶναι ἀδόκιμος καὶ κοντὰ εἰς τὴν κατάραν, καὶ τὸ τέλος της εἶναι τὸ νὰ καπικαωθῇ.

9 Ἀλλὰ διὰ λόγου σας, ἀγαπητοὶ, ἐλπίζομεν καὶ πιστεύομεν τὰ καλήτερα, καὶ

ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν.

10 Οὐ γὰρ ἄδικος ὁ Θεὸς, ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τῆς κόπου τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες.

11 Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους·

12 Ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

13 Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ,

14 Λέγων· Ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε.

15 Καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας.

16 Ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος.

17 Ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ·

10 Διατί δὲν εἶναι ὁ Θεὸς ἄδικος νὰ ἀλησμονήσῃ τὸ ἔργον σας καὶ τὸν κόπον τῆς ἀγάπης, τὴν ὁποίαν ἐδείξετε εἰς τὸ ὄνομά του, ἐξοντας νὰ ὑπηρετήσετε καὶ νὰ ὑπηρετῶτε τοὺς ἁγίους.

11 Καὶ ἐπιθυμοῦμεν καθένας ἀπ' ἐσᾶς νὰ δείχνετε τὴν αὐτὴν σπουδὴν ἕως τὸ τέλος εἰς τὴν πληροφορίαν τῆς ἐλπίδος·

12 Διὰ νὰ μὴν γένητε ὀκνηροὶ, ἀλλὰ μιμηταὶ ἐκείνων ἐπου κληρονομοῦσι τὰ ὑποσχεθέντα διὰ μέσου τῆς πίστεως καὶ μακροθυμίας.

13 Διατί ὁ Θεὸς τάζοντας εἰς τὸν Ἀβραὰμ, (ἐπειδὴ δὲν εἶχε νὰ ὀμώσῃ εἰς κανένα μεγαλίτερον) ὤμοσεν εἰς τὸν λόγον του,

14 Λέγοντας· νὰ ἀληθινὰ, ἐγὼ εὐλογῶν θέλω σὲ εὐλογήσω, καὶ πληθύνων θέλω σὲ πληθύνω.

15 Καὶ οὕτως ἐκεῖνος ἔξοντας νὰ μακροθυμήσῃ ἔτυχε τῆς ὑποσχέσεως.

16 Διατὶ οἱ ἄνθρωποι ὀμόνουσιν εἰς τὸν μεγαλίτερον, καὶ ὁ ὅρκος εἶναι εἰς αὐτοὺς τέλος καθὲ λογῆς ἀντιλογίας εἰς βεβαίωσιν.

17 Εἰς τὸ ὁποῖον πρᾶγμα ὁ Θεὸς θέλοντας νὰ δείξῃ περισσότε-

κληρονόμοις τ ἐπαγγελίας τ ἀμεταθέτου τ βυλῆς αὐτ, ἐμεσίτευσεν ὅρκῳ·

18 Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τ προκειμένης ἐλπίδ.

19 Ἣν ὡς ἄγκυραν ἔχομεν τ ψυχῆς ἀσφαλῆ τε καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τ ἐσώτερον τ καταπετάσματ.

20 Ὅπ πρόδρομ ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησ, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμεν εἰς τ αἰῶνα.

σότερον εἰς τὰς κληρονόμας τ ἐπαγγελίας τὸ ἀμετακίνητον τ βυλῆς τ, ἐμεσίτευσε μὲ ὅρκου.

18 Ἵνα διὰμέσ δύο πραγμάτων ἀμεταθέτων, εἰς τὰ ὁποῖα εἶναι ἀδύνατ τὰ ψεύσασθαι ὁ Θεὸς, νὰ ἔχωμεν βεβαίαν παρηγορίαν ἐμεῖς ὁπ ἀναταφύγαμεν εἰς αὐτὸν, νὰ κρατήσωμεν τὴν ἐλπίδα ὁπ προκίτει.

19 Τὴν ὁποίαν ἐλπίδα ἔχομεν ὡσὰν ἄγκυραν ἀσάλευτον καὶ βεβαίαν τ ψυχῆς, καὶ ὁπ εἰσβαίνει εἰς τὸ παρακίτερα μεριὰν τ βήματ.

20 Ἐκεῖ ὁπ ὁ Ἰησ εἰσῆλθε προδρόμ διὰ λόγου μας, ἔχοντας νὰ γένῃ ἀρχιερεὺς εἰς τ αἰῶνα κατὰ τὴν τάξιν τ Μελχισεδέκ.

Κεφ. ζ'. 7.

Οὗτ γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς Σαλὴμ, ἱερεὺς τ Θεοῦ ὑψίσ, ὁ συναντήσας Ἀβραὰμ ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τ βασιλέων, καὶ εὐλογήσας αὐτόν·

2 Ὧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ· πρῶτ μὲν ἑρμηνεύομεν βασιλεὺς δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ· ὅ ἐστι βασιλεὺς εἰρήνης·

Διατὶ ἦτ ὁ Μελχισεδὲκ ἦτον βασιλεὺς τῆς Σαλήμ, ἱερεὺς τ Θεοῦ τ ὑψίσ, ὁπ ἐσυναπάντησε τ Ἀβραάμ, ὅταν ἐγύρισεν ἀπὸ τὴν κοπὴν τ βασιλέων, καὶ τ εὐλόγησε·

2 Εἰς τ ὁποῖον Μελχισεδὲκ ὁ Ἀβραὰμ ἐμοίρασε δεκάτιαν ἀπὸ ὅλα· καὶ πρῶτον ἑρμηνεύεται βασιλεὺς δικαιοσύνης, καὶ ἀπέκειτα βασιλεὺς Σαλήμ· τὸ ὁποῖον θέλει νὰ εἰπῇ βασιλεὺς τῆς εἰρήνης·

3 Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος· μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές.

4 Θεωρεῖτε δὲ πηλίκος ὁ τοῦτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν ἀκροθινίων ὁ πατριάρχης.

5 Καὶ οἱ μὲν ἐκ τῶν υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες, ἐντολὴν ἔχουσιν ἀποδεκατεῖν τὸν λαὸν κατὰ τὸν νόμον, τουτέστι, τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ.

6 Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν, δεδεκάτωκε τὸν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας εὐλόγηκε.

7 Χωρὶς δὲ πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται.

8 Καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δέ, μαρτυρούμενος ὅτι ζῇ.

9 Καὶ (ὡς ἔπος εἰπεῖν) διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ δεκάτας λαμβάνων δεδεκάτωται·

10 ἔτι γὰρ ἐν τῇ ὀσφύι τοῦ πατρὸς

3 Χωρὶς πατέρα, χωρὶς μητέρα, χωρὶς γενεαλογίαν, μηδὲ ἀρχὴν ἡμερῶν, μηδὲ τέλος ζωῆς ἔχοντας, ἀλλὰ φωνούμενον παρόμοιον τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς παντοτινά.

4 Καὶ στοχάζεσθε πόσος μέγας ἦτον ἐκεῖνος, εἰς τὸ ὁποῖον καὶ ὁ Ἀβραὰμ ὁ πατριάρχης ἔδωκε δεκάτιον ἀπὸ τὰ κερδεύματα.

5 Καὶ ἐκεῖνοι ἀπὸ τοὺς υἱοὺς τοῦ Λευΐ, ὁποῦ πέρνουσι τὴν ἱερωσύνην, ἔχουσι παραγγελίαν νὰ ἀποδεκατίζουν τὸν λαὸν κατὰ τὸν νόμον, ἤγουν τοὺς ἀδελφούς των, οἱ ὁποῖοι καὶ αὐτοὶ ἂν καλὰ νὰ εὐγῆκαν ἀπὸ τὴν μέσιν τοῦ Ἀβραάμ.

6 Ἀμὴ ἐκεῖνος ὁποῦ δὲν ἐγενεαλογεῖτον ἀπ' αὐτούς, ἐδεκάτισε τὸν Ἀβραάμ, καὶ εὐλόγησεν ἐκεῖνον ὁποῦ εἶχε τὰ ταξίματα.

7 Καὶ ἔξω ἀπὸ κάθε λογῆς ἀντιλογίαν, τὸ μικρότερον εὐλογᾶται ἀπὸ τὸ μεγαλίτερον.

8 Καὶ ἐδῶ οἱ ἄνθρωποι ἀποθνήσκοντες πέρνουσι δεκατίας, ἀλλὰ ἐκεῖ (λαμβάνει) ἐκεῖνος, ὁποῦ μαρτυρεῖται ὅτι ζῇ.

9 Καὶ διὰ νὰ εἰπῶμεν ἔτζι, καὶ ὁ Λευΐ ὁποῦ πέρνει τὰς δεκατίας, αὐτὸς ἐδεκατίσθη εἰς τὸ πρόσωπον τοῦ Ἀβραάμ.

10 Διατὶ ἀκόμι εἰς τὴν μέσιν

τερος ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ.

11 Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν· (ὁ λαὸς γὰρ ἐπ' αὐτῆς νενομοθέτητο) τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;

12 Μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται.

13 Ἐφ' ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.

14 Πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν· εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε.

15 Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται ἱερεὺς ἕτερος,

16 Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου.

17 Μαρτυρεῖ γάρ· Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

18 Ἀθέτησις μὲν γὰρ γίνεται προ-

σίου τοῦ παιδὸς ἦτον, ὅταν τὸ σωμα πάντησεν ὁ Μελχισεδέκ.

11 Ἐὰν λοιπὸν ἡ τελείωσις ἦτον διὰ τῆς ἱερωσύης τῆς Λϐιτικῆς· (διατὶ ὁ λαὸς σύνομοθετήθη εἰς αὐτὴν) τί χρεία ἔκαμε πλέον, νὰ σηκωθῇ ἄλλος ἱερεὺς κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ, καὶ ὄχι νὰ λέγεται κατὰ τὴν τάξιν τοῦ Ἀαρών;

12 Διατὶ ὅταν μεταϐάλεται ἡ ἱερωσύη, ἐξανάγκης γίνεται καὶ μετάθεσις τοῦ νόμου.

13 Διατὶ ἐκεῖνος διὰ τὸν ὁποῖον ἐλαλήθηκαν ἔτσα, κατάγεται ἀπὸ ἄλλη φυλή, ἀπὸ τὴν ὁποίαν κανένας ἐσήμωσεν εἰς τὸ θυσιαστήριον.

14 Διατὶ φανερὸν εἶναι ὁλοις ἀπὸ τὸ βγαίνει τοῦ Ἰούδα ἀνατέτηλεν ὁ Κύριός μας, εἰς τὴν ὁποίαν φυλὴν ὁ Μωϋσῆς δὲν εἶπε ποτὲς περὶ ἱερωσύης.

15 Καὶ τοῦτο ἀκόμι περισσότερον εἶναι φανερὸν, ἐπειδὴ σηκώνεται ἄλλος ἱερεύς, κατὰ τὴν ὁμοιότητα τοῦ Μελχισεδέκ.

16 Ὁ ὁποῖος δὲν ἔγινε κατὰ τὸν νόμον τῆς ἐντολῆς τῆς σαρκικῆς, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀδιαφθάρτου.

17 Διατὶ ὁ Θεὸς μαρτυρεῖ λέγοντας· ἐσὺ εἶσαι ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ.

18 Διατὶ ἡ προτέρη ἐντολὴ

ωσαγωγὴ ἐπιπλεῖον, διὰ τὸ
αὐτὴν ἀσθενὲς καὶ ἀνωφελές.

19 Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νό-
μος, ἐπεισαγωγὴ δὲ κρείττονος
ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ
Θεῷ.

20 Καὶ καθ' ὅσον οὐ χωρὶς
ὁρκωμοσίας.

21 (Οἱ μὲν γὰρ, χωρὶς ὁρ-
κωμοσίας εἰσὶν ἱερεῖς γεγονότες·
ὁ δὲ, μετὰ ὁρκωμοσίας, διὰ τοῦ
λέγοντος πρὸς αὐτόν· Ὤμοσε
Κύριος, καὶ οὐ μεταμεληθή-
σεται· Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ
τὴν τάξιν Μελχισεδὲκ)

22 Κατὰ τοσοῦτον κρείττονος
διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς.

23 Καὶ οἱ μὲν, πλείονες εἰσὶ
γεγονότες ἱερεῖς, διὰ τὸ θανάτῳ
κωλύεσθαι παραμένειν·

24 Ὁ δὲ, διὰ τὸ μένειν αὐ-
τὸν εἰς τὸν αἰῶνα, ἀπαράβατον
ἔχει τὴν ἱερωσύνην·

25 Ὅθεν καὶ σώζειν εἰς τὸ
παντελὲς δύναται τοὺς προσερ-
χομένους δι' αὐτοῦ τῷ Θεῷ, πάντο-
τε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ
αὐτῶν.

26 Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν
ἀρχιερεύς, ὅσιος, ἄκακος,
ἀμίαντος, κεχωρισμένος ἀπὸ
τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότε-
ρος τῶν οὐρανῶν γενόμενος·

παύῃ) διὰ τὴν ἀσθένειαν τῆς καὶ
τὴν ἀνωφέλειαν.

19 Διαὶ ὁ νόμος δὲν ἐτε-
λείωσε ποτὲ, ἀλλὰ ἡ ἀπανω-
έμβασις τῆς καλλιτέρας ἐλπί-
δος, διαμέσου τῆς ὁποίας
σημαίνομεν εἰς τὸν Θεόν.

20 Καὶ εἰς ὅσον δὲν εἶναι
χωρὶς ὁρκωμοσίας·

21 Διατὶ ἐκεῖνοι ἔγιναν ἱε-
ρεῖς χωρὶς ὁρκωμοσίας· ἀμὴ
ἐτοῦτος εἶναι μὲ ὁρκωμοσίαν,
διαμέσου ἐκεῖνα ὁπού τὸν λέγει·
Ὤμοσε Κύριος, καὶ δὲν θέλει
μετανοήσει· ἐσὺ εἶσαι ἱερεὺς εἰς
τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχι-
σεδέκ·

22 Τόσον καλλιτέρας διαθή-
κης ἔγινεν ἐγγυητὴς ὁ Ἰησοῦς.

23 Καὶ ἐκεῖνοι μὲν ἔγιναν
πολλοὶ ἱερεῖς, ὁπού διὰ τὸν θάνα-
τον ἐμποδίζονταν νὰ μένουν·

24 Ἀμὴ ἐκεῖνος, ὁπού μένει
εἰς τὸν αἰῶνα, ἔχει τὴν ἱερωσύ-
νην ἀδιάδοχον.

25 Διὰ τοῦτο καὶ δύναται νὰ
σώζῃ εἰς τὸ παντελὲς ἐκείνους
ὁπού πλησιάζουσι διαμέσου αὐ-
τοῦ εἰς τὸν Θεόν, ἐφ' ὅσον νὰ
ζῇ πάντοτε εἰς τὸ νὰ μεσιτεύῃ
διὰ λόγου τους.

26 Διατὶ τοιοῦτος ἀρχιε-
ρεὺς μᾶς ἔπρεπε, ὅσιος, ἄκα-
κος, ἀμίαντος, κεχωρι-
σμένος ἀπὸ τοὺς ἁμαρτωλοὺς,
καὶ ὑψηλότερος ἀπὸ τοὺς οὐρα-
νοὺς γενόμενος.

27 Ὃς

27 Ὁ

27 Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν ἀνενέγκας.

28 Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

27 Ὁ ὁποῖος δὲν ἔχει ἀνάγκην, καθὼς εἶχαν οἱ ἀρχιερεῖς, νὰ ἀναφέρῃ καθ' ἡμέραν θυσίας, πρῶτα διὰ τὰς ἰδικάς του ἁμαρτίας, ἔπειτα καὶ διὰ τὰς (ἁμαρτίας) τοῦ λαοῦ. Διὰ τοῦτο τὸ ἔκαμε μίαν φοράν, ὅταν ἐπροσφέρε τὸν λόγον του.

28 Διατὶ ὁ νόμος καθιστᾷ ἀρχιερεῖς ἀνθρώπους, ὁποῦ ἔχουν ἀσθένειαν· ἀμὴ ὁ λόγος τῆς ὁρκωμοσίας ὁποῦ ἔγινεν ὕστερα ἀπὸ τὸν νόμον, καθιστᾷ ἀρχιερέα τὸν τελειωμένον εἰς τὸν αἰῶνα.

Κεφ. η'. 8.

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς,

2 Τῶν ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

3 Πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ.

4 Εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα·

Καὶ διὰ νὰ εἰπῶμεν συνοπτικὰ ἑτοῦτο ὁποῦ εἰπαμεν, ἐμεῖς ἔχομεν ἀρχιερέα τέτοιας λογῆς, ὁ ὁποῖος ἐκάθισεν εἰς τὴν δεξιὰν τοῦ θρόνου τῆς μεγαλωσύνης εἰς τοὺς οὐρανούς,

2 Λειτουργὸς τῶν ἁγίων καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, τὴν ὁποίαν ἐκαθασκεύασεν ὁ Κύριος, καὶ ὄχι ἄνθρωπος.

3 Διατὶ κάθε ἀρχιερεὺς καθιστᾶται εἰς τὸ νὰ προσφέρῃ δῶρα καὶ θυσίας· διὰ τοῦτο ἀναγκαῖον εἶναι νὰ ἔχῃ τίποτες καὶ ἐτοῦτος ὁποῦ νὰ προσφέρῃ.

4 Διατὶ ἐὰν ἦτον ἀπάνω εἰς τὴν γῆν, δὲν ἤθελεν εἶσθαι ἱερεύς, ἐφ' ὅσον νὰ εἶναι οἱ ἱερεῖς ὁποῦ προσφέρουσι τὰ δῶρα κατὰ τὸν νόμον.

5 Οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωσῆς, μέλλων ἐπιτελεῖν τὴν σκηνήν· Ὅρα γάρ, φησί, ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει.

6 Νυνὶ δὲ διαφορωτέρας τέτυχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται.

7 Εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος.

8 Μεμφόμενος γὰρ αὐτοῖς λέγει· Ἰδοὺ, ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν.

